# Handschriftliche Studien

zu

# Galen

von

**G. Helmreich**
Gymnasialrektor.

---

## PROGRAMM

des

## K. humanistischen Gymnasiums

in

## Ansbach

für das Schuljahr 1909/10.

Bibliothek des Städt. Gymnasiums * Düsseldorf *

---

**Ansbach**
Druck von C. Brügel & Sohn
**1910.**

997
7 (1910)

UNIVERSITÄTS- UND LANDESBIBLIOTHEK DÜSSELDORF

I.

# Bruchstücke

eines Kommentars zu Galens Schriften *Περὶ στοιχείων*, *Περὶ κράσεων* und *Περὶ φυσικῶν δυνάμεων*.

Der Codex der Pariser Nationalbibliothek Supplément grec 634 enthält auf Fol. 19[a] bis 26[b] unter dem Titel *Προλεγόμενα εἰς τὸ τοῦ Γαληνοῦ Περὶ στοιχείων* eine orientierende Einleitung zu dieser Schrift und daran anschliessend eine Reihe von Erklärungen zu einzelnen Stellen aus Galens Werken *Περὶ στοιχείων*, *Περὶ κράσεων* und *Περὶ φυσικῶν δυνάμεων*.

Der Inhalt ist nicht bedeutend. Was der Verfasser bietet, hat er zum Teil wörtlich aus anderen Schriften Galens entlehnt. Darunter befinden sich auch zwei Bruchstücke aus dem jetzt verlornen Werk Galens *Περὶ τῶν ἑαυτῷ δοκούντων*. Das eine (§ 81) stimmt mit dem bereits im Philologus 52 S. 433 von mir veröffentlichten überein, das andere (§ 57) ist neu. Ausser mit Galen und Hippokrates zeigt der Verfasser Bekanntschaft mit Plato und Aristoteles und den Kommentatoren des letzteren.

Über die Entstehungszeit des Kommentars lässt sich nichts Bestimmtes ermitteln. Da Alexander (wohl A. von Aphrodisias, der Exeget genannt, c. 211 n. Chr.), Porphyrius (gest. um 304 n. Chr.) und Philoponus (um 550 n. Chr.) zitiert werden, ist er wohl erst in spätgriechischer Zeit verfasst. Dazu stimmt der Gebrauch von *εἰς* statt *ἐν*, die wiederholt vorkommende Verbindung von *εἰ* mit dem Konjunktiv und die Verwendung einzelner in der klassischen Zeit ungebräuchlichen Wörter, wie *ὁλμοκόπος*, *ὤθησις*, *ἀντώθησις*, *χυλοποίησις*, *ἀνομοιόσχημος*.

Der Text ist oft schwer oder nicht zu verstehen entweder infolge schlechter Überlieferung oder weil der Verfasser seine Gedanken nicht klar auszudrücken ver-

mochte. Vielleicht bringt der cod. Neapolit. 229 III D 15, der nach dem gleichen Titel zu schliessen den gleichen Text enthält, eine Verbesserung einzelner Stellen.

---

*Προλεγόμενα εἰς τὸ τοῦ Γαληνοῦ Περὶ στοιχείων.*

*Ὁ σκοπός.*

1 Ἐπειδὴ τὰ ἀνθρώπινα σώματα τῆς ἡμετέρας τέχνης ὕλη
τυγχάνουσι καὶ ὑποκείμενον, περὶ ἃ τὸ τέλος αὕτη ἐνδείκνυται,
καὶ τούτων ἐπιτηδεύει τὴν πρόνοιαν, ἀναγκαῖον ὑπάρχει τῷ
ἰατρῷ τεχνίτῃ ὄντι τε καὶ λεγομένῳ τὴν ὑποβεβλημένην αὐτῷ
ὕλην ἥτις ποτ᾽ ἐστὶ κατὰ τὴν φύσιν ἐπισκέπτεσθαι καὶ πρῶτα
μὲν τίσι διοικεῖται δυνάμεσι, δεύτερον δὲ ποίαις περισφίγγεται
κράσεσι, εἶτα καὶ τὰ πρῶτα στοιχεῖα ἐξ ὧν αἱ κράσεις ἀνιχ-
2 νεύειν. ἐκεῖνον γὰρ ὁ Πλάτων καλεῖ τεχνίτην, τὸν τὴν φύσιν
τῆς ὕλης γινώσκοντα, περὶ ἣν καταγίνεται. φησὶ γάρ· „Ἐγὼ[1])
δὲ οὐ καλῶ τέχνην, ὃ ἂν ᾖ ἄλογον πρᾶγμα“. σκοπὸς οὖν
ἐνταῦθα περὶ τούτων διαλαβεῖν ἑταίρῳ τινὶ αὐτοῦ πρὸς ἀπο-
3 δημίαν στελλομένῳ[2]). οὕτω γὰρ καὶ πάσας αὐτοῦ τὰς ἄλλας
πραγματείας[3]) φαίνεται ποιῶν, ἢ γὰρ φίλῳ[4]) αὐτοῦ χαριζό-
μενος ἢ χάριν ἀναμνήσεως αὐτῷ γράφων διὰ τὸ τῆς λήθης
4 γῆρας[5]). καὶ ἐν μὲν τῷ πρώτῳ λόγῳ διαλαμβάνει περὶ τῶν
στοιχείων τοῦ τε κόσμου παντὸς καὶ τῶν ἐν γενέσει καὶ φθορᾷ
σωμάτων, ἐν δὲ τῷ δευτέρῳ περὶ τῶν χυμῶν στοιχείων ὄντων
καὶ αὐτῶν τῶν ἐναίμων ζῴων.

5 Χρὴ τοίνυν ἐν ἅπαντι πράγματι τεχνωθῆναι πρῶτον,
ὥσπερ τις ὠνόμαζεν τῶν ἡμετέρων διδασκάλων, εἶθ᾽ οὕτως
ἐπιχειρεῖν τοῖς ἔργοις· τὸ τεχνωθῆναι δ᾽ ἐστὶ τὸ γνῶναι τῆς
ὑποβεβλημένης τέχνῃ συμπάσης ὕλης πρῶτον μὲν καὶ μάλιστα
τὰς ἁπλᾶς δυνάμεις, ἔπειθ᾽ ἑξῆς τὰς μίξεις αὐτῶν ὁπόσαι τέ
6 τινές εἰσι καὶ ὁποῖαι· καὶ μὲν δὴ καὶ περὶ φαρμάκων συνθέ-
σεώς τε καὶ χρήσεως ἡ αὐτὴ μέθοδος, ὡς ἐν τοῖς περὶ αὐτῶν
ὑπομνήμασιν ἀποδέδεικται. διττῆς δ᾽ ὕλης οὔσης τοῖς ἰατροῖς,
μιᾶς μέν, ἐφ᾽ ἧς ἢ ἐν ᾗ γίνεται τὸ τέλος, ὅπερ ἐστὶν αὐτὰ

---

1) Gorg. 465 A. 2) cf. Gal. XV 1; XVII A 576. 3) cf. Gal. X 456. 4) cf. Gal. Script. min. II 92. 5) cf. Plat. Phaedr. 276 D.

τῶν ἀνθρώπων τὰ σώματα, δευτέρας δὲ τῆς βοηθημάτων, ὑφ᾽ ὧν ἢ δι᾽ ὧν γίνεται τὸ τέλος, ἡ μὲν περὶ [τῆς] τῶν φαρμάκων πραγματεία τῆς δευτέρας ἐστί, ἡ δὲ νῦν ἐνεστῶσα τῆς πρώτης.

*Περὶ στοιχείου.* 7

Ὀνομάζεται[1]) μὲν οὖν στοιχεῖον, ὅπερ ἂν ἐλάχιστον ᾖ μέρος ἐκείνου τοῦ πράγματος, οὗπερ ἂν ᾖ στοιχεῖον. καὶ γὰρ τοῦ τῆς πρός τι κατηγορίας ἐστὶν ἡ στοιχεῖον φωνή, καθάπερ καὶ τοῦ μέρους. τό τε γὰρ στοιχεῖον τινός ἐστι στοιχεῖον τό τε μέρος τινός ἐστι μέρος. ὥσπερ οὖν τῆς φωνῆς ἡμῶν, ᾗ χρώμεθα διαλεγόμενοι πρὸς ἀλλήλους, τέσσαρα καὶ εἴκοσίν ἐστι στοιχεῖα, κατὰ τὸν αὐτὸν τρόπον ἁπάντων τῶν γενητῶν καὶ φθαρτῶν σωμάτων ἐλάχιστα μόρια γῆ καὶ ἀὴρ καὶ ὕδωρ καὶ πῦρ.

*Τί ἐστιν ἐλάχιστον;* 8

Ἐλαχίστου[2]) [δὲ] λεγομένου τοῦ μηκέτι τομὴν ἐγχωροῦντος· ἡ μὲν γὰρ κατὰ τὸ μέγεθος τομὴ τοιοῦτον οὐδὲν ἐλάχιστον ἔχει, μόνη δὲ ἡ κατ᾽ εἶδος ἵσταταί ποτε, καθάπερ ἐπὶ τῆς φωνῆς. οὔσης γάρ τινος συνθέτου τοιᾶσδε

Μῆνιν ἄειδε, θεά, Πηληϊάδεω Ἀχιλῆος,

ὅλη μέν ἐστιν αὕτη, μέρη δὲ αὐτῆς τὸ μῆνιν καὶ τὸ ἄειδε καὶ
τὸ θεὰ καὶ τὰ λοιπά· ἕκαστον δὲ πάλιν τούτων εἰς τὰς συλ- 9
λαβὰς τέμνεται καὶ τῶν συλλαβῶν αὖθις ἑκάστη διαίρεσιν εἰς τὰ στοιχεῖα λαμβάνει. τῆς γοῦν πρώτης συλλαβῆς τῆς $\overline{\mu\eta}$ συγκειμένης ἐκ δυοῖν στοιχείων οὐδέτερον αὐτῶν εἰς ἄλλας ἑαυτοῦ φωνὰς ἐλάττους δύναται τμηθῆναι καὶ διὰ τοῦτο τὴν $\overline{\mu\eta}$ φωνὴν ἐλαχίστην τε καὶ ἄτμητον εἶναί φαμεν, ὡς καὶ τὸν Δίωνα καλεῖν ἔθος ἐστὶ τοῖς φιλοσόφοις ἄτομον οὐσίαν. ἕκαστον γὰρ τῶν κατ᾽ εἶδος λεγομένων τε καὶ νοουμένων, ὅταν μηκέτ᾽ ἐγχωρῇ τομὴν εἰς εἴδη πλείω, τοῖς τοιούτοις ὀνόμασιν προσαγορεύομεν. Ἀπὸ τοῦ περὶ τῶν καθ᾽ Ἱπποκράτην καὶ Πλάτωνα δογμάτων ὀγδόου λόγου (fol. 19ᵇ inc.).

*Τί ἐστι στοιχεῖον.*

Στοιχεῖόν[3]) ἐστιν ἐλάχιστον μόριον, ἐξ οὗ γίνεταί τι καὶ 10

---

[1]) Aus Gal. De placit. Hipp. et Plat. VIII 2 = vol. V 661 (= p. 663 M). [2]) Aus Gal. l. l. [3]) cf. Gal. XIX 356.

εἰς ὃ ἔσχατον ἀναλύεται. καὶ ἄλλως. ὁ δὲ Ἀριστοτέλης[1]) ἐν τῷ περὶ Οὐρανοῦ οὕτως· στοιχεῖόν ἐστιν ἐξ οὗ τι πρώτως γίνεται ἐνυπάρχοντος τῷ γινομένῳ εἴτε δυνάμει εἴτε ἐνεργείᾳ. ἐν δὲ τῷ Δ' τῶν Μετὰ τὰ φυσικά[2])· „στοιχεῖόν ἐστιν ἐξ οὗ σύγκειται πρώτου ἐνυπάρχοντος, ἀδιαιρέτου τῷ εἴδει εἰς ἕτερον εἶδος". Ἀπὸ τῶν Μετὰ τὰ φυσικά.

11 *Περὶ συλλογισμῶν.*

Τὸ στοιχεῖον ἐνυπάρχει τῷ γινομένῳ, τὸ ἐνυπάρχον τῷ γινομένῳ ἐλάχιστόν ἐστι μόριον. τὸ στοιχεῖον ἄρα ἐλάχιστόν ἐστι μόριον. ὁ γοῦν Γαληνὸς τὸ συμπέρασμα τούτου πρότασιν τοῦ ἰδίου συλλογισμοῦ ποιεῖ λέγων οὕτως. Τὸ στοιχεῖον ἐλάχιστόν ἐστι μόριον[3]). τὸ ἐλάχιστον ἢ φύσει ἢ αἰσθήσει κρίνεται. τὸ στοιχεῖον ἄρα ἢ πρὸς τὴν φύσιν ἐστὶν ἐλάχιστον ἢ πρὸς τὴν αἴσθησιν. ἀλλὰ μὴν πρὸς τὴν αἴσθησιν οὐκ ἔστι, πρὸς
12 τὴν φύσιν ἄρα. πόθεν δὲ δῆλον, ὅτι οὐκ ἔστι τὸ στοιχεῖον τῶν ἡμετέρων σωμάτων τὸ πρὸς τὴν αἴσθησιν ἐλάχιστον, ἀλλὰ τὸ πρὸς τὴν φύσιν; συλλογίσαιτο ἄν τις ἐν δευτέρῳ σχήματι οὕτως, λαβὼν ὡς ἀξίωμα, ὅτι τὸ τῇ φύσει ἐλάχιστον τεταγμένον[4]) καὶ ὡρισμένον ἐστί, τὸ δὲ πρὸς τὴν αἴσθησιν ἐλάχιστον ἄτακτον καὶ ἀόριστον, τὰ ἡμέτερα στοιχεῖα φύσει ὄντα πρὸς φύσιν ἐλάχιστα ἔσται καὶ οὐ πρὸς αἴσθησιν. στοιχεῖον[5]) ἐνυπάρχει τῷ γινομένῳ, ἐλάχιστόν ἐστι μόριον, στοιχεῖον ἐλάχιστόν ἐστι μόριον ἢ φύσει ἢ αἰσθήσει, τὰ ἡμέτερα στοιχεῖα φύσει ὄντα τὰ πρὸς τὴν φύσιν ἐλάχιστά ἐστι, οὐ τὰ πρὸς τὴν αἴσθησιν ἐλάχιστα.

13 „Χρὴ γὰρ διελέσθαι".[6])

*Περὶ τῆς διαφορᾶς*[7]) *τῶν στοιχείων, ἣν οἱ παλαιοὶ ἔθεντο.*

Ἐγένοντο διαφωνίαι πολλαὶ τοῖς παλαιοῖς περὶ τῶν στοιχείων, καὶ οἱ μὲν ἔλεγον ἓν εἶναι τὸ στοιχεῖον, οἱ δὲ πλείονα, καὶ οἱ ἓν λέγοντες οἱ μὲν ἀκίνητον, οἱ δὲ κινούμενον, καὶ τῶν

---

1) cf. Aristot. De caelo III 3 (= vol. I 302, 15 B): ἔστω δὴ στοιχεῖον τῶν σωμάτων, εἰς ὃ τἆλλα σώματα διαιρεῖται, ἐνυπάρχον δυνάμει ἢ ἐνεργείᾳ. 2) Aristot. Metaph. IV 3, 1014a, 26. 3) cf. Gal. De elem. I 1 = vol. I 413. 4) unsicher, ἱσταμένον od. τειμεμένον P. 5) Die folgenden Worte stehen in der Handschrift in der Form einer Tabelle; sie sind nur eine übersichtliche Wiederholung des Vorhergehenden. 6) Gal. De elem. I 2 = vol. I 415. 7) Darüber διαφωνίας P.

ἓν λεγόντων καὶ ἀκίνητον οἱ μὲν πεπερασμένον, οἱ δὲ ἄπειρον. 14
ἓν μὲν οὖν καὶ ἀκίνητον καὶ ἄπειρον οἱ περὶ Μέλισσον[1]), ἓν
δὲ καὶ ἀκίνητον καὶ πεπερασμένον οἱ περὶ Παρμενίδην[2]).
ἀπελέγχει δὲ τούτους ὁ Ἀριστοτέλης ἐν τῇ Φυσικῇ λέγων, ὅτι
εἰ ἕν ἐστι καὶ ἀκίνητον, πῶς ἐκ τούτου τὰ ὄντα πάντα.
ἐν γὰρ τῷ γίνεσθαι τὰ ὑποβεβηκότα τοῦτο κίνησίς ἐστί τις.
ἢ οὐ δίκαιον ἐγκαλεῖν τούτους θεολογικώτερον ἐξετάζοντας 15
ἐνοῦντες(?)[3]), ὅτι μία ἐστὶν ἀρχὴ πάντων, ἥτις ἐστὶν ἀκίνητος.
ἡ γὰρ κίνησις ἢ κατ᾽ οὐσίαν γίνεται ἢ κατὰ συμβεβηκός, καὶ ἡ
μὲν κατ᾽ οὐσίαν ποιεῖ τὴν γένεσιν καὶ τὴν φθοράν. ἡ δὲ κατὰ
συμβεβηκὸς ἢ κατὰ μέγεθος γίνεται καὶ ποιεῖ αὔξησιν καὶ
μείωσιν, ἢ κατὰ ποιότητα καὶ ποιεῖ τὴν ἀλλοίωσιν, ἢ κατὰ
τόπον καὶ ποιεῖ τὴν μεταβατικὴν κίνησιν. τὸ οὖν πρῶτον αἴτιον 16
ὑπὸ μίαν τούτων τῶν κινήσεων ἄτοπόν ἐστιν ἀνάγειν. οὐ γάρ
τι τούτων πάσχει. καὶ ἐν τούτοις δὲ τοῖς λέγουσιν ἓν καὶ ἀκίνη-
τον ὁ μὲν ἄπειρον ἔλεγεν ἀποβλέπων εἰς τὸ ἀπειροδύναμον
τοῦ θεοῦ· ὁ δὲ πεπερασμένον ἐπὶ[4]) τὰ εἴδη τὰ πεπερασμένα.
πάντα γὰρ ὡς πεπερασμένα οἶδεν ὁ δημιουργός. οἱ δὲ ἓν
(fol. 20 inc.) καὶ κινούμενον λέγοντες ἦσαν οὗτοι. Ἡράκλειτος 17
μὲν πῦρ, Ἀναξιμένης δὲ ἀέρα, Θαλῆς δὲ ὕδωρ, γῆν δὲ Ξενο-
φάνης ὁ τοῦ Κολοφωνίου (sic!). ἔλεγον γὰρ ταῦτα τῇ μανώσει
καὶ τῇ πυκνώσει ποιεῖν τὰ λοιπά. οἱ δὲ πλείονα λέγοντες οἱ 18
μὲν πεπερασμένα, οἱ δὲ ἄπειρα, καὶ οἱ μὲν ἄπειρα ἦσαν οἱ
περὶ Δημόκριτον λέγοντες τὰς ἀτόμους, Ἀναξαγόρας δὲ ὁμοιο-
μερείας τινάς, ὁ δὲ Ἐπίκουρος ἄναρμα, ἄλλοι δέ τινες ἐλάχιστα
καὶ ἀμερῆ. πάντες δὲ οὗτοι, εἰ καὶ τοῖς ὀνόμασι διέφερον, ἀλλ᾽
οὖν περὶ τῆς φύσεως αὐτῶν συνεφώνουν· ἔλεγον γὰρ εἶναι
ταῦτα ἀπαθῆ. πεπερασμένα δὲ ἔλεγον ὅ τε Ἱπποκράτης καὶ 19
οἱ κλεινοὶ τῶν φιλοσόφων τὰ τέσσαρα στοιχεῖα. ὁ δὲ Ἐμπε-
δοκλῆς ἕξ[5]), τὰ τέσσαρα στοιχεῖα καὶ τὸ Νεῖκος καὶ τὴν Φιλίαν,
ἃ καὶ ποιητικὰ ἔλεγεν[6]) αἴτια, ὑλικὰ δὲ τὰ τέσσαρα στοιχεῖα.
οἱ Πυθαγόρειοι[7]) δὲ τὸν δέκατον ἀριθμὸν ἐπρέσβευον.

*Τί ἐστι μέθοδος;* 20

---

[1]) cf. Aristot. Metaph. 986, 21. Phys. 213b, 12. De gen. et corr. 325a 2. Überweg Grundriss I § 21. Diels, Vorsokratiker S. 41. [2]) Überweg I § 19. [3]) Nicht zu entziffern. [4]) ἐπειδὰ P. [5]) cf. Diels, Vorsokratiker S. 166. [6]) ἔλεγον P. [7]) πυθαγόριοι P.

Μέθοδός ἐστιν ἕξις ἐπιστημονικὴ τῶν ὑπ' αὐτῆς μετὰ λόγου καὶ αἰτίας. καὶ ἄλλως κατὰ Γαληνόν[1]). μέθοδός ἐστιν ὁδός τις καὶ τάξις, ὡς εἶναί τι πρῶτον ἐν τῇ ζητήσει καὶ δεύτερόν καὶ τρίτον καὶ τέταρτον.

21 „Κάλλιστά μοι φαίνεται καὶ διὰ βραχυτάτων λέξεων.“[2])

Ἐπειδὴ αἱ προτάσεις ἀληθεῖς ἐλήφθησαν καὶ τὸ σχῆμά ἐστι συλλογιστικόν, διὰ τοῦτο εἶπε τὸ κάλλιστα. ἐπεὶ δὲ παρέλειψε τὴν πρόσληψιν καὶ τὸ συμπέρασμα τοῦ ὑποθετικοῦ συλλογισμοῦ, ἔλαβε δὲ μόνον τὸ συνημμένον, ὅπερ ἐξ ἡγουμένου καὶ ἑπομένου ἐστὶ συγκείμενον, οὗ λεγομένου καὶ ἡ πρόσληψις[3]) καὶ τὸ συμπέρασμα γνεῖται (?)[4]), διὰ τοῦτ' εἶπε τὸ „διὰ βραχυτάτων ἅμα τὸ ἐπικαιρότατον αὐτοῦ τῆς ἀποδείξεως εἰπεῖν“.

22 „Ἴδωμεν οὖν, εἰ ὀρθῶς συνελογίσατο καὶ δεόντως ἀντεῖπε.“[5])

ιδέ. Περὶ συλλογισμῶν, πόθεν σύγκεινται.

Οἱ συλλογισμοὶ σύγκεινται ἐξ ὕλης καὶ εἴδους. καὶ ὕλη μὲν αὐτῶν εἰσιν αἱ προτάσεις, αἳ πάλιν σύγκεινται ἐξ ὀνομάτων καὶ ῥημάτων, ἅπερ ὅροι λέγονται. εἶδος δ' ἐστὶ τῶν συλλογισμῶν ἡ πλοκή, ἵνα ἑκάστου σχήματος τὰ ἴδια φυλάττηται. καὶ τὸ μὲν „δεόντως“ εἶπε διὰ τὴν ὕλην, τὸ δὲ „ὀρθῶς“ διὰ τὸ σχῆμα τὸ συλλογιστικόν. παραβαινομένου δὲ τοῦ τε εἴδους καὶ τῆς ὕλης κρεῖττόν ἐστι τὸ τὴν ὕλην παραβαίνεσθαι ἢ τὸ εἶδος.
23 τῆς γὰρ ὕλης παραβαινομένης γίνεται συλλογισμὸς ἀληθής, τοῦ δὲ εἴδους οὐκέτι. καὶ τούτων ἑκάστου εἴπωμεν παραδείγματα, καὶ πρῶτον τοῦ κατὰ φύσιν καλῶς ἔχοντος. πᾶς ἄνθρωπος ζῷον. πᾶν ζῷον οὐσία ἔμψυχος αἰσθητική. πᾶς ἄρα ἄνθρωπος οὐσία ἔμψυχος αἰσθητική. ἰδοὺ καὶ αἱ προτάσεις ἀληθεῖς καὶ τὸ σχῆμα συλλογιστικόν. ἡ μὲν γὰρ μείζων καθόλου, ἡ δὲ ἐλάττων καταφατική. εἰ δὲ θέλεις ψευδεῖς προφάσεις, λέγω οὕτως. πᾶς
24 ἄνθρωπος λίθος. πᾶς λίθος ἔμψυχον, καὶ συνάγεται ἀληθὲς συμπέρασμα. τοῦ δὲ εἴδους ἤτοι πλοκῆς μὴ καλῶς ἐχούσης λέγω οὕτως. πᾶς ἄνθρωπος ζῷον κατὰ παντὸς ἀνθρώπου. πᾶν

---

[1]) cf. Gal. Meth. med. X 31: ἔστι δὲ τὸ τοιοῦτον μετά τινος ὁδοῦ καὶ τάξεως, ὡς εἶναί τι πρῶτον καὶ δεύτερον καὶ τρίτον καὶ τέταρτον. [2]) Gal. De elem. I 2 = vol. I 416. [3]) πρόληψις P. [4]) Unsicher. [5]) Gal. De elem. I 2 = vol. I 416.

ζῷον κατὰ παντὸς ἵππου. πᾶς ἄρα ἄνθρωπος κατὰ παντὸς ἵππου, ὅπερ ψεῦδος. τοῦτο δὲ γέγονε διὰ τὸ παραβῆναι τὸ ἴδιον τοῦ δευτέρου σχήματος. ἀνομοιόσχημος[1]) γὰρ ὀφείλουσα εἶναι γέγονε καὶ αὐτὴ καταφατική.

„Ἰδέᾳ δὲ καὶ δυνάμει δύναιτ' ἄν τις ἓν εἶναι 25
λέγειν τὰ πάντα."[2])

Ἰδέαν λέγει τὴν φύσιν καὶ τὸ εἶδος. ἑκάστου γὰρ ἡ φύσις καὶ ὁ λόγος καὶ τὸ τί ἦν εἶναι ἕν ἐστι. ἰδέαν οὖν εἶπε ἀντὶ τοῦ εἰπεῖν φύσιν καὶ εἶδος καὶ οὐσίαν, δύναμιν δὲ λέγει τὰς ποιότητας, καθ' ἃς (fol. 20 b inc.) ποιοῦσιν ἢ πάσχουσιν, οἷον τὸ μῆλον τὴν μὲν φύσιν καὶ τὴν οὐσίαν ἕν ἐστι. ποιότητες δὲ καὶ δυνάμεις ἐν αὐτῷ πολλαὶ θεωροῦνται, χυμός, καθ' ὃν ὡδίπως τὴν γεῦσιν διατίθησιν, ὀσμή[3]), καθ' ἣν τοίως δὴ τὴν ὄσφρησιν κινεῖ, χρῶμα, καθ' ὃ τὴν ὄψιν, καὶ ἔτι σχῆμα, ἣν μόνην ποιότητα καὶ δύναμιν (λέγω δὴ τὸ σχῆμα) τὰς ἀτόμους ἔχειν ἔλεγον, ἄλλην δὲ οὐδεμίαν, ὥστε μιᾷ[4]) αὐτὰς ἔλεγον ἰδέᾳ καὶ δυνάμει ἤτοι φύσει καὶ ποιότητι· ὁμοφυεῖς[5]) γὰρ αὐτὰς ἔθεντο· καὶ μιᾷ ποιότητι ἤτοι τῷ σχήματι ἐνουσιωμένας[6]). πόσαι δὲ καὶ τίνες αἱ πᾶσαι φυσικαὶ ποιότητες, εἴρηται[7]) ἐν τῷ τετάρτῳ τῶν Μετεώρων[8]).

„Ἐκ τῆς συνόδου τῶν ἀτόμων γίνεσθαι νο- 26
μίζοντες ἁπάσας τὰς αἰσθητὰς ποιότητας."[9])

Ἔλεγον γάρ, ὅτι εἰ μὲν ἀπὸ τριγώνων ἀτόμων ἐστὶ τὸ σύγκριμα, τύχωσι δὲ αἱ γωνίαι ἄνω, πρὸς μὲν τὴν ὄψιν τὸ τοιοῦτον φαίνεται λευκόν. τὸ γὰρ λευκὸν[10]) διακριτικὸν σχῆμα. αἱ δὲ γωνίαι τοῦ τριγώνου διακρίνειν μὲν τὴν ὄψιν δύνανται. εἰ δὲ τύχωσιν ἄνω αἱ βάσεις τῶν τριγώνων, τὸ τοιοῦτον φαίνεται μέλαν, πρὸς δὲ τὴν γεῦσιν τὸ τοιοῦτον γλυκύ. τὸ δὲ ἐναντίον τούτου πρὸς τὴν γεῦσιν δριμύ.

„Κατὰ δὲ τὴν ἀλήθειαν ἓν καὶ μηδέν ἐστι τὰ 27
πάντα."[11])

---

[1]) ἀνομοιόσχημος fehlt in den Wörterbüchern. [2]) Gal. De elem. I 2 = vol. I 416. [3]) ὀσμὴν P. [4]) μίαν P. [5]) cf. Simpl. De caelo 569, 5 bei Diels, Vorsokratiker S. 380. [6]) Ein Verbum ἐνουσιόω kennen die Lexica nicht, nur ein Adjektiv ἐνούσιος; vielleicht ist zu lesen ἠναντιωμένας oder ἐναντιουμένας. [7]) εἴρηνται P. [8]) Aristot. Meteorol. IV c. 1—7. [9]) Gal. De elem. I 2 = vol. I 417. [10]) λευκὸν ist in P ausgestrichen und ein unleserliches Wort darüber geschrieben. [11]) Gal. De elem. I 2 = vol. I 418.

Ὁ Δημόκριτος ἔλεγε ταῦτα δὴ τὰ πέντε ἀνδειρικὰ (?) ὀνόματα ἓν μηδὲν ῥυσμὸν τροπὴν διαθιγήν, ἓν μὲν ὀνομάζων τὰς ἀτόμους, μηδὲν δὲ τὸ κενόν, ῥυσμόν[1]) δὲ τὸ σχῆμα αὐτῶν. ἔλεγε γὰρ ταύτας διαφέρειν τῷ σχήματι τῷ τὰς μὲν αὐτῶν εἶναι τριγώνους, τὰς δὲ κυβοειδεῖς, τὰς δὲ ἀγκιστροειδεῖς, τὰς δὲ σφαιρικάς. ἔλεγε δὲ καί, ὅτι πολλῶν σφαιρικῶν συνερχομένων γίνεται τῷ πυρὶ σχῆμα. τροπὴν δὲ τὴν θέσιν ὠνόμαζε τῷ τὰς μὲν εἶναι πρόσω, τὰς δὲ ὀπίσω, τὰς δὲ δεξιά, τὰς δὲ ἀριστερά. διαθιγὴν δὲ τὴν τάξιν τῷ τὰς μὲν εἶναι πρώτας, τὰς δὲ δευτέρας.

28 „*Καὶ τὰ παθήματα αὐτῶν καὶ τὰς αἰσθήσεις.*“[2])

Κατὰ τοὺς μήθ' ἡνῶσθαι τὴν οὐσίαν τὴν ἡμετέραν καὶ κενόν τι παραπεπλέχθαι πάσῃ σώματος συγκρίσει νομίζοντας εἰσὶ δύο τὰ πρῶτα πάθη τῶν ὁμοιομερῶν μορίων, τὸ μὲν εὐρύτης πόρων, τὸ δὲ στέγνωσις. ἀπαθῶν γὰρ ὑποκειμένων τῶν πρώτων στοιχείων ἐν τῇ συνθέσει μόνῃ τὰ παθήματα. ἕκαστον γὰρ τῶν ἁπλῶν σωμάτων πρὸς τὴν αἴσθησιν, εἰ μὲν στενότερον ἢ μανώτερον εἴη τοῦ συμμέτρου, κακῶς διακεῖσθαι λέγουσιν. εἰ δ' ἐν τῷ μέσῳ τῆς ὑπερβολῆς ἑκατέρας, ὡς ἂν μάλιστα συμφέρῃ ταῖς χρείαις αὐτῶν, ἄκρως ὑγιαίνειν λέγουσι
29 τηνικαῦτα· λευκὸν δὲ καὶ μέλαν καὶ πικρὸν καὶ γλυκὺ τὸ αἰσθητὸν φαίνεσθαι οὐκ ὂν τοιοῦτον, ἀλλὰ νομιζόμενον ἡμῖν ὁτὲ μὲν τοῖον, ὁτὲ δὲ τοῖον διὰ τὴν θέσιν τῶν ἀποτελεσάντων ἐκεῖνο σχημάτων. εἰ μὲν γὰρ ἄνωθεν ὦσιν αἱ τῶν τριγώνων γωνίαι, φαίνεται τὸ τοιοῦτον πρὸς μὲν τὴν ὄψιν λευκόν, διακριτικὸν γάρ, πρὸς δὲ τὴν γεῦσιν πικρόν. εἰ δὲ κάτωθεν αἱ γωνίαι ὦσιν, ἄνωθεν δὲ αἱ βάσεις (fol. 21 inc.), τὸ τοιοῦτον πρὸς μὲν τὴν ὄψιν μέλαν, πρὸς δὲ τὴν γεῦσιν γλυκύ.

Εἰς τὸ αὐτὸ ἀπὸ τῆς ἐξηγήσεως τοῦ Φιλοπόνου.

30 Ἐπειδή, φησί, πᾶσαν φαντασίαν ἀληθῆ λέγουσι καὶ ἕκαστον ὡς φαίνεται οὕτως καὶ εἶναι, φαίνεσθαι δὲ πολλάκις τὰ ἐναντία περὶ αὐτοῦ τισι, τῷ ταῦθ' οὕτως περὶ τοῦ αὐτοῦ φαινομένου ἀληθῶς ἔχειν δύνανται ἐκ τῶν οἰκείων ἀρχῶν σώζειν οἱ περὶ Δημόκριτον ὑποθέμενοι ἄπειρα εἶναι τῶν στοιχείων τὰ σχήματα. ταῦτα γὰρ τὴν τάξιν ἀμείβοντα καὶ τὴν

---

[1]) Aristot. Metaph. $985^b$ διαφέρειν γάρ φασι τὸ ὂν ῥυσμῷ καὶ διαθιγῇ καὶ τροπῇ μόνον. [2]) Gal. De elem I 2 = vol. I 418.

θέσιν μεταλλάττοντα ἐκ τῆς πρὸς τοὺς ὁρῶντας σχέσεως καὶ τοῦ διαστήματος ἄλλοτε ἄλλην καὶ ἐν τῷ αὐτῷ ἄλλῳ ἄλλην φαντασίαν παρέχεται. οὕτω γοῦν ὁ τῆς περιστερᾶς τράχηλος προσβαλλούσης[1]) αὐτῷ τῆς τοῦ ἡλίου ἀκτῖνος διαφόρων χρωμάτων φαντασίας παρέχεται. πρὸς ἄλλην γὰρ καὶ ἄλλην τοῦ 31
ὄμματος θέσιν τοῖς μὲν κυανοῦς φαίνεται, τοῖς δὲ χρυσίζων, τοῖς δὲ μέλας καὶ ἄλλῳ ἀλλοῖος, καὶ τὰ τετράγωνα δὲ τῶν σχημάτων κυκλοτερῆ πόρρωθεν φαίνεται, καὶ κύκλον δὲ πόρρωθεν κείμενον, εἰ κατὰ τοῦ κροτάφου θεασόμεθα, εὐθείας ὁρῶμεν, καὶ τὸ μέλι τῷ μὲν ἰκτεριῶντι πικρὸν φαίνεται, τῷ δ' ὑγιαίνοντι γλυκύ. καὶ τὸ ξ γοῦν πρὸς ἄλλην καὶ ἄλλην τοῦ ὁρῶντος σχέσιν ἢ ν ἢ ε ὁρᾶται, ὥστε ταῖς μεταβολαῖς τοῦ συγκειμένου λέγει, οὐ τοῦ συνθέτου, ἀλλὰ τοῦ συντιθέντος 32
τὸν σύνθετον καὶ μετακινεῖσθαι μικροῦ ἐμμιγνυμένου καὶ ὅλως ἕτερόν φησι φαίνεσθαι ἑνὸς μετακινηθέντος. οὐ μόνη δὲ ἡ μετάθεσις καὶ μετάταξις τῶν ἀτόμων ἀμείβει τὴν φαντασίαν τῶν ὁρωμένων, ἀλλὰ καὶ παρὰ τὰς ἀπορρεούσας ἀτόμους τῶν συνθέτων καὶ προσπιπτούσας τοῖς ὁρῶσιν ἑτέρα τις γίνεται σχέσις καὶ διάφορος φαντασία. οὕτω μὲν ὁ Ἀλέξανδρος ἐξηγήσατο.

„Λοιπαὶ δ' ἦσαν δύο, μία μὲν ἡ ἐξ αἰσθητικῶν τε ἅμα καὶ πασχόντων τῶν πρώτων στοιχείων.“[2])

Ὁ Ἐμπεδοκλῆς καὶ ὁ Βοηθὸς ἔλεγον ἐξ αἰσθητικῶν καὶ 33
πασχόντων στοιχείων γίνεσθαι τὸ σῶμα. ὁ μὲν Ἐμπεδοκλῆς θεολογικώτερόν πως ἐξετάζων ἐπὶ τῆς λογικῆς ψυχῆς ἔλεγε τοῦτο εἶναι, καθὼς καὶ Ἀριστοτέλης[3]) φησὶ τὴν ψυχὴν ἐοικέναι ἐγγράφῳ γραμματείῳ καὶ λόγους ἔχειν παντοίους καὶ τόπον εἰδῶν ταύτην εἶναι κατὰ Πλάτωνα. οὕτω γὰρ λόγους ἔχουσα πάντων τῶν ὄντων, ὅταν τι αἰσθητὸν προσέλθῃ, τότε κινουμένης τῆς φαντασίας ὑπὸ τοῦ αἰσθητοῦ καὶ τοῦ λόγου τοῦ τεθησαυρισμένου ἐνεργεῖ[4]) κατὰ τὸ προσιὸν αἰσθητόν. εἰ μὲν γὰρ γήινον ᾖ τοῦτο, τότε τοῦ λόγου κινουμένου τοῦ ἐν τῇ ψυχῇ, γίνεται ἡ ἐνέργεια καὶ ἡ αἴσθησις. ὁμοίως καὶ ἐπὶ τῶν λοιπῶν.

---

[1]) προβαλλούσης *P.* [2]) Gal. De elem. I 3 = vol. I 427. [3]) cf. Aristot. De anima III 4, 430a 1: δεῖ δ' οὕτως ὥσπερ ἐν γραμματείῳ, ᾧ μηθὲν ὑπάρχει ἐντελεχείᾳ γεγραμμένον, ὅπερ συμβαίνει ἐπὶ τοῦ νοῦ. [4]) ἐνεργειῶν, wie es scheint, *P.*

34 ὁ μὲν οὖν Ἐμπεδοκλῆς κατὰ τὸ τουσ . . . λόγους ἔχειν πάντων τὴν λογικὴν ψυχὴν καὶ ἐοικέναι γραμματείῳ[1]) ἐγγράφῳ καὶ τόπον εἰδῶν εἶναι καλῶς ἔλεγεν. ὁ δέ γε Βοηθὸς οὐ καλῶς. ἐκέχρητο δὲ καὶ δυσὶ συλλογισμοῖς, δεικνύς, ὅτι (fol. 21 b inc.) αἴσθησις ἐκ τῶν στοιχείων. τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου γινώσκεται. ἡ αἴσθησις τὰ στοιχεῖα γινώσκει. ἡ αἴσθησις ἄρα ὁμοία τοῖς στοιχείοις. ἕτερος συλλογισμός· ἡ αἴσθησις ὁμοία τοῖς στοιχείοις· τό ὅμοιον ὑπὸ τοῦ ὁμοίου γινώσκεται. ἡ αἴσθησις ἄρα ἐκ τῶν στοιχείων γινώσκεται. ἠπατᾶτο δὲ ἐκ τῶν ἐπῶν τοῦ Ἐμπεδοκλέους[2]) λέγοντος

*Γαίῃ μὲν γὰρ γαῖαν ὀπώπαμεν, ὕδατι δ' ὕδωρ,*
*Αἰθέρι αἰθέρα δῖον, ἀτὰρ πυρὶ πῦρ ἀΐδηλον,*
*Στοργῇ δὲ στοργήν, νεῖκος δέ τε νείκεϊ λυγρῷ.*

35 „Εἰς ἄλληλα δὲ τὸ δρᾶν καὶ πάσχειν ἐχόντων πολυειδῶς ἐν πολλαῖς ταῖς κατὰ μέρος ἀλλοιώσεσι γίνεσθαί ποτε τὸ αἰσθητικὸν σῶμα.“ [3])

Δόγμα ἐστὶ τοῦ Γαληνοῦ λέγοντος ἐκ κράσεως γίνεσθαι τὴν αἴσθησιν. εὑρεθήσεται οὖν τὸ σῶμα τῆς ψυχῆς κρεῖττον. ἡ μὲν γὰρ κρᾶσις τοῦ σώματός ἐστιν, ἡ δὲ αἴσθησις ἀλόγου ψυχῆς, ὅπερ ἄτοπον. κρεῖττον γὰρ ἡ αἴσθησις τῆς κράσεως, ἐπειδὴ ὡς ὀργάνῳ αὐτῇ κέχρηται. εἰ μὴ γὰρ τοίως δὴ κραθῇ[4]) ἕκαστον τῶν μορίων, οὐκ ἐνεργεῖ ἡ αἴσθησις. κράσεως γὰρ ἐπιτηδείας δέονται. αὕτη πρώτη κατηγορία, διότι ἐκ τῆς κράσεως
36 λέγει γενέσθαι τὴν αἴσθησιν. δευτέρα δέ, ὅτι ἐπειδὴ πᾶν σύνθετον σῶμα ἔχει τι τῶν ἁπλῶν ὡς ἐπὶ οἰκίας. ἔχει γὰρ καὶ τὸ βαρὺ τῶν λίθων καὶ τὸ ἀναίσθητον καὶ μή τις εἴπῃ, ὅτι ἐπὶ τῶν κράσει συνθέτων οὐκ ἔστι τοῦτο εὑρεῖν. ἰδοὺ γὰρ τὸ ὑδρέλαιον καὶ τὸ οἰνόμελι ἄλλο τι παρὰ τὰ ἁπλᾶ. λέγομεν γὰρ ὅτι, εἰ καὶ μὴ ἔμειναν φυλάττοντα τὴν ἀκραιφνῆ ποιότητα, ἀλλ' ὅμως ἔχουσί τι τῶν ἁπλῶν, εἰ καὶ μηδὲν φαίνεται. οὕτως οὖν καὶ ἡ κρᾶσις, ἐπειδὴ ἐκ τῶν ἁπλῶν στοιχείων γίνεται, ταῦτα δὲ σώματά εἰσιν, εὑρεθήσεται καὶ αὕτη σῶμα οὖσα, ὅπερ ἄτοπον. ἡ γὰρ αἴσθησις οὐ σώματος, οὔκουν ἐκ σώματος ἀσώ-
37 ματόν τι γίνεται. τρίτη κατηγορία, ὅτι κακῶς τὴν αἴσθησιν ἀπὸ κράσεως εἶπε γίνεσθαι. ἀπὸ γὰρ τοῦ μείζονός ἐστιν ἐπι-

[1]) *γράμματι P.* [2]) Aristot. Metaph. 1000b 5 Diels, Vorsokratiker S. 213. [3]) Gal. De elem. I 3 = vol. I 428. [4]) *κραθεῖ P.*

χειροῦντα κατασκευάσαι. ἡ γὰρ φυτικὴ ψυχὴ χείρων οὖσα τῆς ἀλόγου οὐχ ἕπεται τῇ κράσει. ἀλλ' ὡς ὀργάνῳ κέχρηται καὶ αἱ δυνάμεις αὐτῆς. εἰ δ' οὐκ ἐν ταύτῃ ἔχουσι τὸ εἶναι, ἀλλ' ἔξωθεν ἐπιφοιτῶσι, πολλῷ πλέον ἡ ἄλογος οὐκ ἐν ὑποκειμένῳ ἐστὶ τῇ κράσει, ἀλλ' ὡς ὀργάνῳ ταύτῃ κέχρηται. ὅπου μὲν γὰρ ἡ ἄλογος, ἐκεῖ καὶ ἡ φυτική· οὐχ ὅπου δὲ ἡ φυτική, ἐκεῖ καὶ ἡ ἄλογος. καὶ ἄλλως δὲ ἄτοπον, ὅτι ἔσται τὰ χείρω ποιητικὰ τῶν κρειττόνων.

„Ὅσοι δὲ μενόντων ἀμεταβλήτων καὶ τοι- 38
ούτων, οἷάπέρ ἐστι καὶ μόνον ἀναμιγνυμένων ἀλλήλοις.“ [1])

Ὁ Ἐμπεδοκλῆς [2]) ἐξ ἀμεταβλήτων τῶν τεσσάρων στοιχείων ἡγεῖται γίνεσθαι τὴν τῶν συνθέτων σωμάτων φύσιν, οὕτως ἀναμεμιγμένων ἀλλήλοις τῶν πρώτων, ὡς εἴ τις λειώσας ἀκριβῶς καὶ χνοώδη ποιήσας ἰὸν καὶ χαλκὸν καὶ καδμείαν καὶ μίσυ [3]) μίξειεν, ὡς μηδὲν ἐξ αὐτῶν δύνασθαι μεταχειρίσασθαι χωρὶς ἑτέρου.

Εἰ δὲ ἐκ τῶν πρώτων αἰσθητικῶν ἁπάντων 39
ἢ οὐκ αἰσθητικῶν, οὔπω δείκνυσιν. ἄμφω γὰρ ἐνδέχεσθαί φησιν. [4])

Φησὶ εἰς τὸ Περὶ συστάσεως ἰατρικῆς. Χρὴ [5]) τοίνυν τὸ μέλλον ὀδυνήσεσθαι παθητόν τε εἶναι καὶ αἰσθητόν, οὐ μὴν ἐξ αἰσθητικῶν γε τῶν πρώτων ἀναγκαῖον εἶναι τὸ αἰσθητικόν, ἀλλ' ἀρκεῖ τὸ παθητὸν [6]) μόνον. αἰσθητικὸν γὰρ δύναται γενέσθαι ποτὲ μεταβάλλον τε καὶ ἀλλοιούμενον. ἐπεὶ δ' ἀπείρους τὸ πλῆθος ἐγχωρεῖ [7]) γενέσθαι τὰς ἐκ τῶν στοιχείων ἀλλοιώσεις τε καὶ κράσεις, ἄπειροι τῶν κατὰ μέρος σωμάτων αἱ ἰδιότητες συστήσονται, καθ' ἃς οὐδὲν ἄτοπον ἀναίσθητα γίνεσθαι πολλὰ καὶ τῶν αἰσθανομένων τὸ μὲν μᾶλλον αἰσθάνεσθαι, τὸ δ' ἧττον.

„Κατὰ δὲ τὸν αὐτὸν τρόπον τοῦ σχήματος τοῦ 40
συλλογιστικοῦ καὶ τὸν ἀπὸ τῆς ἰάσεως ἐρωτᾷ λόγον, ὥσπερ ἠρώτησε καὶ τὸν ἀπὸ τῶν ἀλγημάτων.“ [8])

---

[1]) Gal. De elem. I 3 = vol. I 431. [2]) Aus Gal. XV 32. [3]) cf. Gal. De elem. I 1 (= vol. I 413). [4]) Gal. De elem. I 3 (vol. I 432). [5]) Aus Gal. De constitut. art. med. c. 7 = vol. I 250. [6]) παθητὸν hat auch cod. Laur. 74, 3. [7]) Dieselbe Wortstellung bietet der cod. Laur. 74, 3. [8]) Gal. De elem. I 434.

Οἱ ὑποθετικοὶ συλλογισμοί εἰσιν ἕξ. εἷς μὲν ὁ τῇ θέσει τοῦ ἡγουμένου τὸ ἑπόμενον συνεισφέρων, οἷον ἄνθρωπός ἐστι καὶ ζῷόν ἐστιν. ἀλλὰ μὴν ἄνθρωπος, ζῷον ἄρα. δεύτερος δὲ ὁ τῇ ἀναιρέσει τοῦ ἑπομένου τὸ ἡγούμενον ἀναιρῶν, οἷον εἰ ἄνθρωπός ἐστι, καὶ ζῷόν ἐστιν. ἀλλὰ μὴν οὐ ζῷον. οὐκ ἄνθρωπος ἄρα. οὗτος ἐστιν ὁ παρ' Ἱπποκράτους ἐνταῦθα ληφθείς. τρίτος δὲ ὁ μετὰ ἀποφάσεως ποιῶν τὴν διαίρεσιν, οἷον ὅτι τὸ προσιὸν οὐχὶ ἄνθρωπος καὶ ἵππος ἐστίν. εἶτα τῇ ὑποθέσει τοῦ ἑνὸς ἀναιρῶν τὸ λοιπόν. ἀλλὰ μὴν ἄνθρωπός
41 ἐστιν, οὐκ ἄρα ἵππος ἦν. τέταρτος δὲ ὁ ἐκ διαζευκτικῶν τῇ ὑποθέσει τοῦ ἑνὸς ἀναιρῶν τὸ λοιπὸν ἢ τὰ λοιπά, οἷον ἡ πλευρὰ τῇ πλευρᾷ ἢ ἴση ἐστὶν ἢ μείζων ἢ ἐλάττων. ἀλλὰ μὴν ἴση ἐστίν, οὐκ ἔστιν ἄρα μείζων, οὐκ ἔστιν ἐλάττων. πέμπτος ὁ τῇ ἀναιρέσει τοῦ ἑνὸς διὰ τῶν λοιπῶν κατασκευάζων τὸ ἕτερον, οἷον ἡ πλευρὰ τῇ πλευρᾷ ἢ ἴση ἐστὶν ἢ μείζων ἢ ἐλάττων. ἀλλὰ μὴν οὔτε μείζων οὔτε ἐλάττων, ἴση ἄρα ἐστίν. ἕκτος ὁ ἐξ ὅλων ὑποθέσεων προερχόμενος, οἷον εἰ ὁ θεὸς ἀγαθός, εἰ ἀΐδιον τὸ πᾶν, ἀμείβουσιν αἱ ψυχαὶ διαφόρους φύσεις σωμάτων.

42 „Εἰ ἓν ὢν ὁ ἄνθρωπος ἀλγεῖ, καὶ ὁ τρόπος τῆς ἰάσεως εἷς ἔσται.“ [1]

Τὴν ὕλην ψευδῆ λαβών, λέγω δὴ τὰς προτάσεις, συνήγαγε ἀληθὲς συμπέρασμα βουλόμενος ἐκ περιουσίας δεῖξαι, ὅτι ἓν οὐκ ἔστι τὸ στοιχεῖον. μεμαθήκαμεν γάρ, ὅτι δύο τινῶν ὄντων ἐν τῷ συλλογισμῷ, ὕλης τε καὶ εἴδους, κρεῖττον κατὰ τὴν ὕλην σφάλλεσθαι ἢ κατὰ τὸ εἶδος. τῆς μὲν γὰρ ὕλης μὴ καλῶς ἐχούσης, ὅταν τὸ εἶδος καλῶς ἔχῃ, καθάπερ ἐνταῦθα, συνάγεται ἀληθὲς συμπέρασμα. τὸ δὲ εἶδος εἰ παραβλαβῇ [2], κἂν ἡ ὅλη ὕλη ἀληθής, οὐ συνάγεται ἀληθές.

43 „Οὔτε γὰρ τὸ πάμπαν ἠέρα λέγω τὸν ἄνθρωπον.“ [3]

Ἐκ [4]) τῆς φωνῆς ταύτης σημαίνεται τὸ μὴ παντελῶς, οὐ τὸ μηδόλως. οὐ γὰρ ἀναιρεῖται παντάπασιν ὑπὸ τῆς τοῦ πάμπαν λέξεως τὸ πρᾶγμα. φαίνεται γοῦν ὅ τε ποιητὴς κατὰ τοῦτο τὸ σημαινόμενον χρώμενος τῇ πάμπαν φωνῇ δι' ὧν φησί·

οὐδ' ὅτι πάμπαν [5])

---

[1]) Gal. De elem. I 3 = vol. I 435. [2]) παραβλαβεῖ P. [3]) Gal. De elem. I 3 = vol. I 438. [4]) Aus Galen XV 18. [5]) Hom. Il. XIII 348.

*Ἤθελε λαὸν ὀλέσσαι Ἀχαϊκὸν Ἰλιόθι πρό,*

αὐτὸς θ' Ἱπποκράτης[1]), ἡνίκα ἂν λέγῃ· „Τῶν ὀξέων νοσημάτων οὐ πάμπαν ἀσφαλέες αἱ προαγορεύσεις[2]) οὔτε τῆς ὑγείας οὔτε τοῦ θανάτου." ὁ μὲν γὰρ ποιητὴς τὸν Δία φησὶ χαριζόμενον τῇ Θέτιδι πολὺν[3]) μὲν ὄλεθρον ἐθέλειν ἐργάσασθαι τῶν Ἑλλήνων, οὐ μὴν παντελῶς γ' αὐτοὺς διαφθεῖραι. ὁ δ' Ἱπποκράτης πολλὰς μὲν τῶν προρρήσεων εἶναι βεβαίας, ὡς ἐπεδείξαμεν ἐν τοῖς εἰς τὸ Προγνωστικὸν ὑπομνήμασιν, οὐ μὴν ἁπάσας γε βέλτιον ἀκούειν.

„Ἀξιῶ δ' ἔγωγε τὸν φάσκοντα αἷμα μοῦνον 44
εἶναι τὸν ἄνθρωπον καὶ ἄλλο μηδὲν δεικνύναι αὐτὸν μὴ μεταλλάσσοντα τὴν ἰδέαν."[4])

Τὸ γὰρ χρῶμα τῶν χυμῶν ἐστιν, οὐ τῶν στερεῶν τοῦ ζῴου μορίων τῶν ἐπικρατούντων δηλονότι καὶ πλεονεκτούντων, οὐ τῶν ἐλλειπόντων[5]).

Εἰς τὸ „τὴν ἰδέαν".

Μάλιστα[6]) μὲν γὰρ ἐχρῆν, φησί[7]), τοὺς ὑγιαίνοντας ἀνθρώπους αἷμα μόνον ἔχειν ἐν τῷ σώματι χωρὶς χολῆς τε καὶ φλέγματος, εἴπερ ἡ φύσις αἷμα μόνον ἐστίν· ἔπειτα δὲ εἰ καὶ συγχωρηθείη ποτ' ἐπικτᾶσθαι χολὴν καὶ φλέγμα, ἡλικίαν μίαν τινὰ ἢ ὥραν τοῦ ἔτους εὑρίσκεσθαι, καθ' ἣν αἷμα μόνον ἐστὶν ἐν τῷ σώματι χωρὶς τῶν ἄλλων χυμῶν. ὡσαύτως δὲ ἐλέγχει καὶ τοὺς ἤτοι χολὴν ἢ φλέγμα φάσκοντας εἶναι τὸν ἄνθρωπον.

„Ἀνάγκη τοίνυν, ὅτε τοσοῦτον διήλλακται 45
ἀλλήλων τὴν ἰδέαν τε καὶ τὴν δύναμιν, μὴ ἓν αὐτὰ εἶναι, εἴπερ μὴ πῦρ τε καὶ ὕδωρ ἕν ἐστιν."[8])

Ἰδέαν μὲν λέγει τὴν φύσιν, δύναμιν δὲ τὰ σχήματα αὐτῶν καὶ τὰ μὲν τοῦ πυρὸς μόρια πυραμοειδῆ[9]) φησιν ὁ Πλάτων εἶναι, τὰ δὲ τῆς γῆς κυβοειδῆ. τὸ δὲ καλούμενον ὀκτάεδρον σχῆμα τοῦ ἀέρος ἴδιον εἶναι νομίζει, καθάπερ καὶ τὸ εἰκοσάεδρον ὕδατος. λέγει δὲ τὰ σχήματα ταῦτα σύνθετα

---

[1]) Hipp. Aphor. II 19 = vol. IV 474 L. [2]) *προσαγορεύσεις P.* [3]) *πολλὴν P.* [4]) Gal. De elem. I 3 = vol. I 439 = Hipp. VI 36 L. = Gal. XV 41. [5]) *ἐλλιπόντων P.* [6]) Entlehnt aus Galen XV 42. [7]) *φασι P.* [8]) Gal. De elem. I 3 = vol. I 441 = Hipp. VI 42 L = Gal. XV 67. [9]) Aus Gal. De placit. Hipp. et Plat. VIII 3 = vol V 668 (670 M).

εἶναι. τὸ[1]) μὲν τῆς πυραμίδος ἐκ τεσσάρων ἰσοπλεύρων τριγώνων, τὸ δὲ ἑξάεδρον τοῦ κύβου[2]) τετραγώνων ἕξ, τὸ δ' ὀκτάεδρον τοῦ ἀέρος ὀκτὼ τριγώνων ἰσοπλεύρων, ὥσπερ γε καὶ τὸ εἰκοσάεδρον τοῦ ὕδατος εἴκοσι τριγώνων. εἶτά φησι τὸ μὲν ἰσόπλευρον τρίγωνον ἐκ τριγώνων ὀρθογωνίων ἓξ γινόμενον, τὸ δὲ τετράγωνον ἐκ τεσσάρων.

Ἀπὸ τοῦ ὀγδόου λόγου τῶν περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων.

46 „Πῶς γὰρ [ἂν] ἕν γε ὂν ἄλλο τι γεννήσειεν, εἰ μή τινι μιχθείη ἄλλῳ;"[3])

Καὶ αὐτῶν δὲ τῶν ὁμοφύλων ἡ σύνοδος οὐκ ἐξ ἀνάγκης γεννᾷ. λέλεκται γὰρ ἐν τοῖς Ἀφορισμοῖς ὁ λόγος οὗτος αὐτῷ τέλειος, ἔνθα φησίν[4]). „Ὁκόσαι ψυχρὰς καὶ πυκνὰς τὰς μήτρας ἔχουσι, οὐ κυΐσκονται καὶ ὁκόσαι καθύγρους ἔχουσιν, οὐ κυΐσκονται· ἀποσβέννυται γὰρ ὁ γόνος. καὶ ὁκόσαι ξηρὰς μᾶλλον καὶ περικαέας. ἐνδείῃ γὰρ τῆς τροφῆς φθείρεται τὸ σπέρμα· ὁκόσαι δὲ ἐξ ἀμφοτέρων τῇ κράσει συμμέτρως ἔχουσι, ἐπίτεκνοι γίνονται."

47 „Οἵ τε τὸν ἀέρα, καὶ οὗτοι πῦρ μὲν γίνεσθαί φασιν ἀραιούμενον, ὕδωρ δὲ πυκνούμενον.[5])

Δεῖ γινώσκειν, ὅτι οἱ Στωϊκοὶ ψυχρὸν τὸν ἀέρα φασὶν καὶ ὑγρόν, ἐκ δὲ τῆς πρὸς τὸ πυρῶδες στοιχεῖον ἐπιμιξίας εὔκρατον γίνεσθαι, ὃν ὁ Ἀριστοτέλης τε καὶ οἱ περὶ αὐτὸν θερμὸν εἶναί φασι καὶ ὑγρόν.

48 „Μὴ τοίνυν μηδὲ ἐπειδὴ καὶ κατὰ τὰ τῶν ζῴων σώματα τῶν τεττάρων στοιχείων οὐδὲν εἰλικρινὲς οὐδὲ παντελές ἐστιν, ἀπιστῶμεν ἐκ τούτων αὐτὰ κεκρᾶσθαι."[6])

Τεσσάρων[7]) γὰρ ὄντων γενῶν, ἐξ ὧν συμπέπηγε τὸ σῶμα, γῆς πυρὸς ὕδατός τε καὶ ἀέρος, ἀκριβέστερον φαίνεται καὶ χρησιμώτερον ἰατρῷ περὶ αὐτῶν ὁ Ἱπποκράτης γεγραφώς. ἐκ μὲν γὰρ τῶν τεσσάρων στοιχείων φησὶ γεγονέναι τὸ σῶμα καλῶν τοὐπίπαν ἀπὸ τῶν δραστικῶν ποιοτήτων αὐτά, τὸ μὲν

---

[1]) Aus Gal. l. l. p. 669 (671 M). [2]) getilgt von Müller. [3]) Gal. De elem. I 3 = vol. I 440 = Hipp. VI 36 L. ἂν om. P. [4]) Hipp. Aphor. 5, 62 (vol. IV 554 L.). [5]) Gal. De elem. I 4 = vol. I 443 [6]) Gal. De elem. I 5 = vol. I 452. [7]) Aus Gal. De placit. Hipp. et Plat. VIII 4 = vol. V 676 (= 679 M.).

ψυχρόν, τὸ δὲ ὑγρὸν καὶ τὸ μὲν θερμόν, τὸ δὲ ξηρόν, οὐ μὴν κατ' ἐκεῖνά γε τὸν περὶ τῶν νοσημάτων λόγον ἐποιήσατο. 49
δυνάμει μὲν γάρ ἐστιν ἐν τοῖς σώμασιν (fol. 26 inc.), ἐνεργείᾳ δὲ οὐκ ἔστιν. ἀλλὰ τὰ ἐξ αὐτῶν γεγονότα διὰ μέσων τῶν τροφῶν αἷμα καὶ φλέγμα καὶ ξανθὴ χολὴ καὶ μέλαινα. πυρὶ μὲν ἀνάλογον ἡ ξανθὴ χολή, ἡ δὲ μέλαινα τῇ γῇ, τὸ δὲ φλέγμα τῷ ὕδατι καὶ διὰ τοῦτο θερμὴ μὲν καὶ ξηρὰ τὴν δύναμίν ἐστιν ἡ ξανθὴ χολή, καθάπερ τὸ πῦρ, ψυχρὰ δὲ ἡ μέλαινα καὶ ξηρὰ παραπλησίως τῇ γῇ, τὸ δὲ φλέγμα ψυχρὸν καὶ ὑγρόν, ὥσπερ τὸ ὕδωρ. μόνον δὲ τὸ ἀερῶδες στοιχεῖον ἐν τοῖς τῶν ζῴων σώμασιν ὁρᾶται πλησίον τῆς ἑαυτοῦ φύσεως ἔν τε ταῖς ἀναπνοαῖς καὶ κατὰ τοὺς σφυγμούς, ἤδη δὲ κἂν τοῖς παλμώδεσι πάθεσι ἐμφυσήμασί τε καὶ οἰδήμασιν ἔν τε ταῖς καλουμέναις πνευματώσεσιν. ἡ δ' ἐξ ἁπάντων τῶν τεσσάρων στοιχείων 50
σύμμετρος κρᾶσις ἐγέννησε τὸ ἀκριβὲς αἷμα. ἄχρι[1] μὲν οὖν τοῦ πλέον[2]) ἢ ἔλασσον ἕκαστον τῶν συντιθέντων ἡμᾶς γιγνόμενον[3]) αἱ νόσοι καθίστανται κοινὸς ὁ λόγος ἐστὶν ἐπί τε τῶν χυμῶν καὶ τῶν στοιχείων. ἐπὶ δὲ τοῦ καθ' ἑαυτό που στάντος ἔν τινι τόπῳ τοῦ σώματος οὐκέθ' ὁμοίως ὁ λόγος ἀληθής. οἱ μὲν γὰρ χυμοὶ σαφῶς ὁρῶνται, καθ' ὅπερ ἂν ἐν τῷ σώματι μόριον στῶσι, νόσους ἐργαζόμενοι, τὰ ἐρυσιπέλατα καὶ τοὺς ἕρπητας ἡ ξανθὴ χολή, τοὺς καρκίνους δὲ ἡ μέλαινα, τὰ δ' οἰδήματα τὸ φλέγμα. τὸ δ' αἷμα κατά τε τὸν πνεύμονα 51
καὶ μεταξὺ θώρακός τε καὶ πνεύμονος, ὅταν ἐκχυθὲν τῶν οἰκείων ὀργάνων στῇ σηπόμενον, ἐν τῷ χρόνῳ φθορὰν ἐργάζεται καὶ κατὰ γαστέρα καὶ κατὰ τὰ μεγάλα τῶν τραυμάτων θρομβούμενον ἐσχάτους κινδύνους ἐπιφέρει. γῆν δ' οὐδαμοῦ καθ' ἑαυτὴν ἰδεῖν ἔστι μόνην ἐν τῷ σώματι ἀθροισθεῖσαν, ὥσπερ οὐδὲ πῦρ αὐτὸ καθ' ἑαυτὸ μόνον οὐδ' ὕδωρ στοιχεῖον, ἀλλ' ἰχῶράς τινας ἐπιμιχθέντων ἀλλήλοις τοῦ θ' ὑδατώδους στοιχείου καὶ τοῦ πυρώδους, οὐ μόνων οὐδ' εἰλικρινῶν ἀλλὰ πάχους ἰλυώδους προσλαβόντων. οὕτω δὲ καὶ τὸ φυσῶδες 52
πνεῦμα γεννᾶται κατὰ τὰ ζῷα προσλαβούσης γε τῆς ἀερώδους οὐσίας ὑγρὰν ἰκμάδα. καλῶς μὲν οὖν ὁ Ἱπποκράτης ἐπὶ τῶν χυμῶν ἔγραψε τὸ χωριζομένους τε τῶν ἄλλων καὶ καθ' ἓν

---

[1]) Aus Galen. I l. p. 678. [2]) πλέονος ἢ ἐλάσσονος ἑκάστου Müller. [3]) γινομένου Müller.

ὁτιοῦν ἱσταμένους μόριον αἰτίους γίνεσθαι νοσημάτων. οὐκ ὀρθῶς δ' ὁ Πλάτων ἐπὶ τῶν στοιχείων εἶπεν αὐτό.

53 „Καὶ μὴν εἰ γῆν ὕδατι δεύσειας, οὐδὲν ἔσται σοι πλέον πηλοῦ.“ [1])

Ἀπὸ τοῦ περὶ τῶν καθ' Ἱπποκράτην καὶ Πλάτωνα δογμάτων ὀγδόου λόγου. Καὶ [2]) μὴν καὶ τὸν τρόπον, ὃν ἐκ τῶν στοιχείων τὰ σώμαθ' ἡμῶν συνίσταται, τὸν αὐτὸν ἀμφότεροι λέγουσιν, οὐ δήπου τῆς γῆς ὕδατι φυραθείσης, εἶτ' ἐν ἡλίῳ θερμανθείσης γεννᾶσθαι τὰ ζῷα φάσκοντες, ἀλλὰ διὰ πλειόνων τῶν μεταξὺ μεταβολῶν. ἐκ μὲν γὰρ τῶν τεττάρων στοιχείων ἥ τε τῶν φυτῶν ἐστι γένεσις οἵ τ' ἐξ αὐτῶν καρποὶ καὶ τὰ σπέρματα. τροφὴ δὲ ταῦτα πάντα προβάτοις τε καὶ ὑσὶν αἰξί τε καὶ βουσὶ καὶ τοῖς ἄλλοις ζῴοις, ὅσα πόας ἢ καρποὺς δένδρων ἢ ἀκρεμόνας ἢ ῥίζας ἐσθίει. τοῖς δὲ ἀνθρώ-
54 ποις αὐτά τε ταῦτα τροφαὶ τὰ ζῷα. γεννᾶται δ' ἐν αὐτοῖς ἐκ τούτων αἷμα καὶ φλέγμα καὶ χολαὶ διτταί, πλεῖστον μὲν αἷμα, διὸ καὶ φαίνεται μόνον ἐν ταῖς φλεψίν, ὀλίγον δὲ τῶν ἄλλων ἑκάστου [3]). καὶ τοῦτ' ἐστὶν αὐτὸ τὸ αἷμα (fol. 26 $^{b}$ inc.) τῆς γενέσεως ἡμῶν ὕλη [4]), τὸ συγκείμενον ἐκ τῶν τεσσάρων χυμῶν, κατ' ἐπικράτειαν δ' ὠνομασμένον οὕτω. γεννώμεθα γὰρ ἐξ αὐτοῦ κατὰ τὰς μήτρας κυούμενοι καὶ τήν τε [5]) πρώτην [6]) διάπλασιν ἐκ τούτου λαμβάνομεν, ἐφεξῆς δὲ ταύτῃ τῶν διαπλασθέντων μορίων τήν τε διάρθρωσιν καὶ τὴν αὔξησιν καὶ τὴν τελείωσιν. ἀποκυηθέντες δὲ καὶ πρῶτον μὲν τῷ γάλακτι τρεφόμεθα τὴν γένεσιν ἐξ αἵματος ἔχοντι, μετὰ δὲ ταῦτα ταῖς αὐταῖς τοῖς τελείοις τροφαῖς ἐξ ὧν πάλιν αἷμα καὶ φλέγμα καὶ χολὴ ξανθὴ καὶ μέλαινα γεννᾶται.

55 „Ἅπαντες γοῦν γνωρίζουσιν ἄρτον καὶ φακῆν καὶ πτισάνην.“ [7])

Τῶν ὀσπρίων ἡ φακῆ θερμαίνει καὶ ξηραίνει καὶ τῶν λαχάνων ἡ κράμβη καὶ τῶν κρεῶν ὡσαύτως, οἷα τὰ τῶν ἀγρίων συῶν ἐστι καὶ τὰ ταριχευθέντα. Ἀπὸ τοῦ περὶ διαίτης ὑγιεινῆς Ἱπποκράτους [8]).

Τί ἐστιν ἐλατήριον; ἀγρίου σικύου χυλός.

---

[1]) Gal. De elem. I 5 = vol. I 455. [2]) Gal. De placit. VIII 4 = vol. V 671 (673 M). [3]) ἕκαστον Müller. [4]) ὡς ὕλη συγκείμενον Müller. [5]) γε Müller. [6]) περ αὐτὴν P. [7]) Gal. De elem. I 6 = vol. I 458. [8]) Gal. XV 179.

„Ἐπεὶ γὰρ ἀλλοιοῦσθαι πέφυκεν ἡ οὐσία, τίνες 56
αἱ δυνάμεναι τοῦτο δρᾶν ὑπάρχουσι ποιότητες, ἐφεξῆς ἴδωμεν.[1])

Ἐνταῦθα δείκνυσιν ὁ Γαληνὸς δ̄ εἶναι τὰ στοιχεῖα ἀπὸ τῶν ἀλλοιουσῶν ποιοτήτων, καθάπερ Ἀριστοτέλης ἐν τῷ Περὶ γενέσεως καὶ φθορᾶς. ὁ δ' αὐτὸς ἀνὴρ δείκνυσι ταῦτα καὶ ἐν τῷ πρώτῳ Περὶ οὐρανοῦ καὶ ἀπὸ τῶν ῥοπῶν (?).

Ἀρχὴ τοῦ β̄. περὶ στοιχείων.

„Μεταξὺ δὲ τούτων κἀκείνων ἡμῖν μὲν οἱ τέσ- 57
σαρες χυμοί, τῶν δ' ἄλλων ζῴων ἑκάστῳ τοὐθ', ὅπερ ἂν ὕλη τῆς γενέσεως αὐτῶν ᾖ προσεχής.“[2])

Μεταβάλλει γὰρ τὰ μὲν εὐθὺς εἰς ἄλληλα, τὰ δὲ διὰ μέσων ἑτέρων, οἷον αὐτίκα γῆ μὲν εἰς πυροὺς καὶ κριθὰς καὶ τἄλλα τὰ τοιαῦτα· τούτων δ' αὖ πάλιν ἕκαστον εἰς ἀνθρωπείαν σάρκα. οὐ μὴν αὐτῇ γε τῇ γῇ σάρκα γενέσθαι δυνατὸν ὑπερβάσῃ τὴν ἐν τῷ μέσῳ μεταβολήν.

„Ἑκατέρων γὰρ ὁ λόγος ἔχει τι πιθανόν.“[3]) 58

Ὅτι γὰρ χρὴ τό γε περιττὸν τῶν χολῶν καὶ τοῦ φλέγματος ἐκκρίνεσθαι προνοεῖσθαι κατὰ τὴν ὑγιεινὴν δίαιταν, ὅπως μὴ πλεονάσαντες ἐν φλεγματικοῖς ἢ χολοποιοῖς ἐδέσμασιν αὐξήσωμέν τινα τῶν χυμῶν τούτων, εὔδηλόν ἐστι. τοῦτο οὖν ὁμολογούμενον ἔχοντες οὐδὲν εἰς τὰ τῆς τέχνης ἔργα βλαβησόμεθα κατ' οὐδετέραν δόξαν, ἐάν τε στοιχειώδεις τοὺς δ̄ χυμοὺς λέγωμεν ἐάν τε τὸ μὲν αἷμα μόνον ὑπὸ τῆς φύσεως γίνεσθαι κατὰ πρῶτον λόγον, ἕπεσθαι δ' ἐξ ἀνάγκης αὐτοῦ τῇ γενέσει τοὺς ἄλλους τρεῖς χυμούς. Ἀπὸ τοῦ Περὶ τῶν ἑαυτῷ δοκούντων[4]). Ἐν δὲ τῷ Περὶ τῶν καθαιρόντων φαρμάκων φησὶν ὅτι τὰ γάρ τοι καθαίροντα[5]) . . .

„Ἐπ' αὐταῖς δὲ τρίτον τὸ φλέγμα κατὰ φύσιν.“[6]) 59

Δέδεικται δὲ ἡμῖν ὁ μὲν τοῦ φλέγματος χυμὸς ἐκ τῶν φλεγματικῶν ἐδεσμάτων κατὰ τὴν πρώτην ἐν τῇ γαστρὶ πέψιν

---

[1]) Gal. De elem. I 9 = vol. I 483. [2]) Gal. De elem. II 1 = vol. I 493. [3]) Gal. De elem. II 1 = vol. I 494. [4]) Über diese verloren gegangene Schrift Galens vgl. Philol. 52 S. 431—34 und Philol. 55 S. 689—93. [5]) Das Zitat ist unvollständig; gemeint scheint die Stelle zu sein bei Gal. XI 356: *τὰ γάρ τοι καθαίροντα δι' αὐτὸ τοῦτο πρὸς ἁπάντων ὀνομάζεται καθαίροντα, διότι καθαρὸν ἀποφαίνει τὸ αἷμα τῶν εἰρημένων περιττωμάτων.* [6]) Gal. De elem. II 4 = vol. I 502.

γινόμενος, ὥσπερ ὁ πικρόχολός τε καὶ μελαγχολικὸς ἐν ἥπατι μεταβάλλων τε κατὰ τὴν ἐν τούτῳ (fol. 22 inc.) πέψιν ὁ φλεγματικὸς εἰς αἷμα. καὶ διὰ τοῦτο μηδὲν αὐτοῦ γεγονὸς ἴδιον ὄργανον εἰς κάθαρσιν τοῦ αἵματος ὥσπερ αἵ τε κύστεις ἀμφότεραι καὶ ὁ σπλήν.

60 „Ἔνι δὲ καὶ ὀξὺ καὶ γλυκὺ καὶ πικρὸν καὶ ἁλμυρὸν καὶ παντοῖον.“[1])

Ὥσπερ[2]) δηλονότι καὶ κατὰ τὸν ἄνθρωπον ὀξὺ μὲν τὴν μέλαιναν χολήν, πικρὸν δὲ τὴν ξανθήν, γλυκὺ δὲ τὸ αἷμα καὶ ἁλμυρὸν τὸ φλέγμα. καὶ γὰρ καὶ τοιοῦτόν ἐστι τὸ φλέγμα καθάπερ ἄλλο γλυκὺ καὶ ἕτερον ὀξύ, καί τι μηδεμίαν ἔχον ἐπίσημον ποιότητα. διὰ τοῦτό μοι δοκεῖ καὶ κατὰ τὸ τέλος τῆς ῥήσεως προσθεῖναι τὸ καὶ παντοῖον, οὐ μόνον ἐν τῷ φλέγματι διαφορὰς ὁρῶν παμπόλλας, ἀλλὰ καὶ κατὰ τοὺς ἄλλους χυμούς. ὥσπερ γὰρ ὀξὺ καὶ γλυκὺ καὶ πικρὸν καὶ ἁλμυρόν, οὕτως καὶ στρυφνόν τι καὶ αὐστηρὸν καὶ δριμὺ καὶ λιπαρὸν εἶδός ἐστι χυμοῦ ἔν τε τοῖς ζῴοις καὶ φυτοῖς καὶ δηλονότι καὶ κατὰ τὴν γῆν ἀνάλογον αὐτοῖς

61 Ἀρχὴ τοῦ πρώτου Περὶ κράσεων.

Κρᾶσίς ἐστιν ἕνωσις τῶν ἐναντίων ὅλων δι' ὅλων κεραννυμένων. καὶ ἄλλως· ἡ ἐξ ὁμοίων καὶ ἐξ ἀνομοίων σύστασις τοῦ ζῴου. καὶ ἄλλως. κρᾶσις ἐστιν ὡς ἡ τῶν ὑγρῶν ὅταν τῶν ὄγκων παρακειμένων δρῶσαι εἰς ἀλλήλας αἱ ποιότητες δι' ἀλλήλων διαβῶσι. τῶν γὰρ μίξεων ἡ μέν ἐστι κρᾶσις ὡς ἐπὶ τοῦ οἰνομέλιτος, ἡ δὲ παράθεσις.

62 „Ἐξ μὲν γὰρ γίνεσθαι τῶν τεσσάρων ἀλλήλαις ἐπιπλεκομένων τὰς συζεύξεις, ἀλλὰ τὰς δύο τούτων ἀδυνάτους ὑπάρχειν.“[3])

Δεῖ δὴ τὸν τῶν ἐκτεθέντων ὅρων ἀριθμὸν ἐπὶ τὸν μονάδι ἐλάττονα πολλαπλασιάζειν καὶ τοῦ γενομένου τὸ ἥμισυ λαβόντα τοσαύτας λέγειν εἶναι τὰς συμπλοκὰς καὶ ἡ αἰτία τῆς μεθόδου δήλη. ἐπειδὴ γὰρ ἕκαστον πρὸς τὰ λοιπὰ πάντα σχέσιν ἔχει καὶ εἰσὶν αἱ σχέσεις μονάδι ἐλάττονες τῶν ὅρων, ἅτε μεταξὺ τῶν ὅρων οὖσαι, διὰ τοῦτο τὸν τῶν ἐκτεθέντων ὅρων ἀριθμὸν ἐπὶ τὸν μονάδι ἐλάττονα πολλαπλασιάζομεν καὶ γίνονται ιβ',

---

[1]) Gal. De elem. II 5 = vol. I 507. [2]) Ohne Rücksicht auf die Satzkonstruktion aus Gal. XV 80 entnommen. [3]) Gal. De temper. I 2 = vol. I 518.

ἀφ᾽ ὧν λαμβάνειν δεῖ τὸ ἥμισυ ὡς κἂν ταῖς πέντε φωναῖς ὁ Πορφύριος ποιεῖ καὶ γίνονται σ̅τ̅, ἀφ᾽ ὧν αἱ δύο ἀσύστατοι, καὶ γίνονται δ̅.

„Ἀλλ᾽ εἴπερ ὁ θάνατος τοιοῦτος, ἀναγκαῖον 63
ἤδη καὶ τὴν ζωήν, ὡς ἂν ἐναντίαν ὑπάρχουσαν αὐτῷ, θερμήν τε εἶναι καὶ ὑγράν.“ [1])

Ἰστέον, ὅτι ἡ μὲν ζωὴ εἰδοπεποίηται, ὁ δὲ θάνατος οὐκ εἰδοπεποίηται. στέρησις γάρ τίς ἐστι. καὶ πάλιν τὰ ἐναντία μεταβάλλουσιν εἰς ἄλληλα. ὁ δὲ θάνατος εἰς ζωὴν οὐ μεταβάλλει. μὴ ἀπατησάτω γὰρ ἡμᾶς τὸ εἰρημένον ὑπὸ τοῦ Πλάτωνος [2]), ὅτι καὶ τὸ ζῶν ἐκ μὴ ζῶντος γίνεται καὶ ἐκ ζῶντος μὴ ζῶν. ἄλλο γάρ τι αἰνιττόμενος ταῦτα ἔλεγεν. ἢ γὰρ διὰ τὴν μετεμψύχωσιν τοῦ ἄλλου φθορὰν εἶναι ἄλλου γένεσιν. οὕτω γὰρ ἐκ νεκρῶν σκώληκες γίνονται.

„Ἀλλὰ τοῦτο [3]) μὲν καὶ ἄλλως αὐτῷ συμβέ- 64
βηκεν.“ [4])

Διὰ τὴν τοῦ ἡλίου ὑποχώρησιν. τῆς γὰρ τοῦ περιέχοντος ἡμᾶς ἀέρος θερμασίας, ἣν ἴσχει κατὰ τὸ θέρος, ὁ ἥλιος αἴτιος ἐγγύς τε καὶ κατὰ κορυφὴν ἡμῶν ἀφικνούμενος καὶ μακροτέραν τὴν ἡμέραν ποιούμενος. οὕτως καὶ τῆς ἐν χειμῶνι ψυχρότητος ὁ αὐτὸς αἴτιος λοξὸς καὶ ταπεινὸς ἐν ὀλίγῳ τε χρόνῳ τὴν ὑπὲρ γῆς φορὰν ποιούμενος. ὁ δὲ Ἱπποκράτης [5]) φησί· „Ὅταν δὲ ὁ χειμὼν καταλαμβάνῃ, ἥ τε χολὴ ψυχομένη ὀλίγη γίνεται καὶ τὸ (fol. 22ᵇ inc.) φλέγμα αὔξεται πάλιν ἀπό τε τῶν ὑετῶν [6]) [καὶ] τοῦ πλήθεος καὶ ἀπὸ τῶν νυκτῶν τοῦ μήκεος.“

„Ἔτος νότιον, ἐπόμβριον, ἄπνοια διὰ τέλεος.“ [7]) 65

Ἀναμνησθῶμεν, [8]) ὅτι πολλὰς ἐν τῷ περιέχοντι καταστάσεις ἑωράκαμεν ἠρεμίαν τε καὶ νηνεμίαν ἐχούσας, καθάπερ ἐν τῇ θαλάττῃ γαλήνη. ὡς οὖν ἐν αὐτῇ διὰ παντὸς μέν ἐστι ῥεῦμα κατὰ τὸ βάθος ἢ μεῖζον ἢ μεῖον, οὐ φαίνεται δ᾽ ἐνίοτε σαφῶς διὰ σμικρότητα, πλὴν εἰ στενὸν εἴη τὸ δεχόμενον αὐτὴν χωρίον, κατὰ τὸν αὐτὸν λόγον ἐν τῷ περιέχοντι παντελὴς μὲν ἀκινησία καὶ στάσις οὐδέποτε γίνεται. λανθάνει δ᾽ ἐνίοτε

---

1) Gal. De temper. I 3 = vol. I 523. 2) Phaedr. 71 D. 3) *τούτῳ P.*
4) Gal. De temper. I 4 = vol. I 526. 5) Hipp. De nat. homin. I 7 = vol. VI 48 L. 6) *ὑετέων P.* 7) Gal. De temper. I 4 = vol. I 531. (= Hipp. vol. III 66 *L.*) 8) Aus Galens Kommentar zu den Epidemien des Hippokrates. Gal. XVII A 650, entlehnt.

διὰ μικρότητα. καὶ νέφη δ' ὁρῶμεν ἐν ταῖς τοιαύταις ἀπνοίαις πολλάκις ἑστάναι μὲν δοκοῦντα, κινούμενα δὲ κατὰ ἀλήθειαν.

66 „Ὅτι δὲ καὶ παραβάλλοντες ἑτέρᾳ κράσει πολλάκις ἑτέραν ἀποφαινόμεθα τὴν ἑτέραν αὐτῶν εἶναι θερμὴν ἐν ἴσῳ τῷ θερμοτέραν, ἐπιλανθάνονται τοῦδε.“ [1])

Ταύτῃ [2]) διήνεγκε τὸ μεῖζον τοῦ μεγάλου τῷ τὸ μὲν μεῖζον παντὸς τοῦ μικροτέρου δύνασθαι μεῖζον λέγεσθαι, τὸ δὲ μέγα οὐ παντὸς οὗτινος μεῖζον, ἀλλὰ μόνον τῶν ὁμογενῶν. οὕτως δὲ καὶ περὶ μικροτέρου καὶ μικροῦ καὶ θερμοτέρου καὶ θερμοῦ. διαφέρει γὰρ τὸ θερμὸν τοῦ θερμοτέρου τῷ τὸ μὲν θερμότερον παντὸς τοῦ ψυχροτέρου δύνασθαι θερμότερον λέγεσθαι, τὸ δὲ θερμὸν οὐ παντὸς οὗτινος θερμόν, ἀλλὰ [3]) δηλονότι τῷ μέσῳ τε καὶ συμμέτρῳ προσαγορευομένῳ καθ' ἕκαστον γένος ἢ εἶδος ὥσπερ κανόνι παραβάλλοντες [4]) καὶ κριτηρίῳ· διαφέρει τῷ τὸ μὲν θερμότερον πρὸς ὁτιοῦν τὸ ἐπιτυχὸν παραβάλλεσθαι, τὸ δὲ θερμὸν πρὸς μόνον τὸ σύμμετρον.

67 „Φλέγμα μὲν ὑγρότατόν ἐστι καὶ ψυχρότατον, αἷμα δὲ θερμότατον καὶ ὑγρότατον.“ [5])

Τὸ μὲν ὀξὺ καὶ συνετὸν ἐν τῇ ψυχῇ διὰ τὸν χολώδη χυμόν ἐστι, τὸ δὲ ἑδραῖον καὶ βέβαιον διὰ τὸν μελαγχολικόν, τὸ δ' ἁπλοῦν καὶ ἠλιθιώτερον διὰ τὸ αἷμα. τοῦ δὲ φλέγματος ἡ φύσις πρὸς μὲν ἠθοποιΐαν ἄχρηστος. ἀναγκαίαν δὲ φαίνεται τὴν γένεσιν ἔχειν ἐν τῇ πρώτῃ μεταβολῇ τῶν σιτίων.

Ἀρχὴ τοῦ β̄. λόγου. [6])

68 „Αἱ δ' ἐν τῇ κεφαλῇ τε καὶ ταῖς ὀφρύσι καὶ κατὰ τὰ βλέφαρα καὶ παισὶν οὖσιν ἡμῖν ὑπάρχουσιν.“ [7])

Γένεσις [8]) μὲν γὰρ ταῖς θριξὶν οἵαπερ ἡ τῶν ἐκ τῆς γῆς φυομένων. καθάπερ δὲ ἐν τούτοις τὰ μὲν κατὰ τέχνην

---

[1]) Gal. De temper. I 5 = vol. I 536. [2]) Am Rande steht ἀπὸ τῆς σφυγμικῆς und in der Tat ist die Stelle aus Gal. Περὶ διαγνώσεως σφυγμῶν lib. II 2 (= vol. VIII 842) entlehnt. [3]) Gal. VIII 843. [4]) Nach παραβάλλοντες folgen ein oder zwei Worte, die wegen eines Loches in der Handschrift nicht lesbar sind. [5]) Gal. De temper. I 9 = vol. I 568. [6]) Steht am Rande. [7]) Gal. De temper. II 5 = vol. I 619. [8]) Der ganze Abschnitt bis ἡμᾶς προτρέπει ist wörtlich aus Gal. De compos. medic. sec. locos I 1 (= vol. XII 379) entlehnt.

καὶ προαίρεσιν τοῦ γεωργοῦ, τὰ δὲ κατὰ τὰς φυσικὰς αἰτίας γεννᾶται, τὸν αὐτὸν τρόπον κἀν τοῖς τῶν ζῴων σώμασιν ἀρούρᾳ μέν τινι πυροὺς ἢ κριθὰς ἤ τι τῶν ἄλλων δημητρίων σπερμάτων ἐν αὐτῇ φυόμενον ἐχούσῃ τῆς κεφαλῆς ἐοικυίας, ταῖς δὲ ἄλλαις πόαις ὅσαι[1]) κατὰ τὰ νοτερὰ χωρία φύονται, τῶν ἐν ὅλῳ τῷ σώματι τριχῶν ὁμοίαν ἐχουσῶν τὴν γένεσιν. οὐ γὰρ κατὰ πρῶτον λόγον ἡ φύσις εἴωθε γεννᾶν, ἀλλὰ κατά τι συμβεβηκός. αἵ γε μὴν κατὰ τὰ βλέφαρα καὶ τὰς ὀσφρύας ἐδείκνυντο χρείαν οὐ μικρὰν παρέχουσαι τοῖς ζῴοις. αἱ δὲ ἐπὶ τῶν αἰδοίων τε καὶ τῶν γενείων ἕνεκα μικροτέρων χρειῶν δοκοῦσι γεγονέναι. Διὸ καὶ τὰ πάθη μάλιστα μὲν τῶν ἐπ' ὀφθαλμοῖς τε καὶ ὀφρύσιν ἐπὶ τὴν ἑαυτῶν θεραπείαν ἡμᾶς προτρέπει.

Ἀπορία, πῶς τὰς ἐν τῇ κεφαλῇ τρίχας (fol. 23 inc.) **69**
καὶ ταῖς ὀφρύσι καὶ τοῖς βλεφάροις οὔσας οὐκ ἐξ ἀνάγκης ἑπομένας ταῖς κράσεσί φησιν ὁ Γαληνός, εἶτα λέγει, ὡς ἡ μὲν θερμὴ καὶ ξηρὰ κρᾶσις δασεῖά ἐστι, ψιλαὶ δὲ τριχῶν αἱ ψυχραὶ κράσεις καὶ μέλαιναι μὲν τῶν θερμῶν καὶ ξηρῶν, τῶν δὲ ψυχρῶν τοιαίδε.

Λύσις· ἢ δηλονότι ταῦτα ὁ Γαληνὸς περὶ τῶν ἐν ὅλῳ τῷ σώματι φάσκει, οὐ περὶ τῶν ἐν τῇ κεφαλῇ. ταύτας γὰρ ἐπὶ πάσης κράσεως εἶναι λόγῳ προνοίας, τὸ δὲ τοιάσδε λόγῳ τῆς ἀναλόγου καθ' ὅλον τὸ σῶμα ἢ τὴν κεφαλὴν κράσεως.

„Καὶ δὴ φαλακροῦνται μὲν μᾶλλον γηρῶντες **70**
οἱ ἄνθρωποι, πολιοῦνται δὲ τοὺς κροτάφους.“[2])

Ἀπὸ τοῦ γ̄. τμήματος τῆς ϛ̄τ̄. ἐπιδημίας.[3]) Ἡ δέρματος ἀραιότης, ἡ κοιλίας πυκνότης, ἡ δέρματος σύνδεσις, ἡ τῶν σαρκῶν αὔξησις, ἡ κοιλίης νάρκωσις, ἡ τῶν ὅλων σύγχυσις, ἡ τῶν ἀγγείων ἀκαθαρσίη, ἡ ἐγκεφάλου ἀνάλωσις, διὸ καὶ φαλακρότης, ἡ τῶν ὀργάνων τρῖψις.[4])

Ἐγκεφάλου ἀνάλωσίν φησι τὴν μείωσιν.[5]) ὥστε τὰ τοῦ **71**
βρέγματος ὀστᾶ χαυνότερα καὶ μαλακώτερα τῶν ἄλλων ὄντα καὶ ἄνωθεν ἐπικείμενα γίνεσθαι ξηρὰ διὰ τὴν ἔνδειαν τοῦ ἐγκεφάλου, μηκέτ'[6]) ἐξικνουμένου πρὸς αὐτὸ μηδ' ἅπτεσθαι

---

[1]) *ὅσα P.* [2]) Gal. De temper. II 5 = vol. I 621. [3]) Hipp. Epid. VI = vol. V 294 L. cf. Gal. XVII $B_1$. [4]) *κατάτριψις* Hipp. [5]) Aus Gal. vol. XVII B p. 5 entlehnt. [6]) *μὴ κατεξικνουμένου P.*

δυναμένου. συνιζάνει τε γὰρ καὶ καταπίπτει ταπεινούμενος
ἐπὶ τὴν ἑαυτοῦ βάσιν. ἀκόλουθον δ' ἐστὶ τῶν ὀστῶν τούτων
ξηραινομένων ξηραίνεσθαι καὶ τὸ περιτεταμένον αὐτοῖς δέρμα.
καὶ φαίνεταί γε καὶ αὐτῇ τῇ αἰσθήσει πάνυ ξηρὸν ἐπὶ τῶν
φαλακρῶν, ὡς μηδὲ ἀποδείξεως δεῖσθαι. ὅταν γε μὴν ἐπὶ πλέον
τύχῃ ξηρανθεὶς ὁ ἐγκέφαλος ὡς ἐπί τινων ἐν ἐσχάτῳ γήρει
συμβαίνει καὶ τὰς τῶν νεύρων ἐκφύσεις ἀναγκαῖον ἀποξηραί-
νεσθαι τηνικαῦτα, καὶ διὰ τοῦτο μήθ' ὁρᾶν ὁμοίως ἔστι[1]) μήτ'
ἀκούειν μήτ' ἄλλο τι τῶν κατὰ τὰς αἰσθήσεις ἢ τὰς καθ' ὁρμὴν
κινήσεις ἐρρωμένως ἀποτελεῖν, ὥστε εἰκότως αὐτὸν ὠνομακέναι
κατάτριψιν ὀργάνων ἐκ μεταφορᾶς τῶν κατατριβομένων ἱματίων
72 καὶ σκευῶν. καὶ γὰρ καὶ ταῦτα φαίνεται ξηρότερα σφῶν αὐτῶν
γινόμενα μετὰ τὰς πολυχρονίους χρήσεις, ἡνίκα καὶ κατατε-
τρῖφθαι λέγομεν αὐτά. τῶν[2]) δ' ἄλλων μερῶν τοῦ κρανίου
μάλιστα μὲν οὐδ' ἀφίσταται ὁ ἐγκέφαλος πλέον, εἰ δὲ καὶ
ἀποσταίη ποτέ, διὰ γοῦν τὰς ἐπικειμένας τοῖς ὀστοῖς σάρκας
οὐκ ἀπόλλυται παντάπασιν ἡ τοῦ δέρματος ὑγρότης οὐδ' αἱ
τρίχες. ἔμαθες γὰρ μήτε ἐκ τοῦ διύγρου δέρματος φύεσθαι
τρίχας μήτε ἐκ τοῦ ξηρανθέντος σφοδρῶς.

73 „Οὐδὲ γὰρ οἱ φυσιογνωμονεῖν ἐπιχειροῦντες
ἁπλῶς ἀποφαίνονται περὶ πάντων, ἀλλ' ἐκ τῆς
πείρας καὶ οἶδε διδαχθέντες, εἰ μέν τις ἱκανῶς εἴη
δασὺς τὰ στέρνα, θυμικὸν ἀποφαίνονται.“[3])

Διὸ καὶ ὁ Ἱπποκράτης[4]) φησί· „Φωνὴ ὁκοίη γίνεται
ὀργιζομένοις, ἢν τοιαύτη μὴ ὀργιζομένῳ ᾖ φύσει, καὶ ὄμματα
οἷα ἂν ᾖ φύσει ταραχώδεα, οἷα ὅταν ὀργίζωνται[5]) οἱ μὴ τοι-
οῦτοι, καὶ νούσων οἷον τὸ φθινῶδες ποιέει τὸ εἶδος, ἢν τοι-
οῦτος φύσει ὑπάρχῃ,[6]) εἰς τοιοῦτον νόσημα παρέσται“. τοῦτο
οὖν ἐκ τούτων δείκνυσιν, ὡς ὁποῖος ἕκαστος ἐν πάθει φαίνεται
γινόμενος, ἐὰν τοιοῦτος ᾖ φύσει, πρὸς τὸ πάθος ἐπιτήδειός
ἐστιν. ἐὰν μὲν οἷος ὁ ὀργιζόμενος ὀργίλος, ἐὰν δὲ οἷος ὁ ἐρῶν
ἐρωτικός, ἐὰν δὲ οἷος ὁ θυμούμενος θυμικός, ἐὰν δὲ οἷος ὁ
ἐπιθυμῶν ἐπιθυμητικός. οὐ μόνον δὲ τῶν παθῶν τῆς ψυχῆς
ἀλλὰ καὶ ἡ τοῦ σώματος ἐπιτηδειότης ἄλλου πρὸς ἄλλο πάθος.

---

[1]) ἔτι P. [2]) Aus Gal. XVII B p. 4. [3]) Gal. De temper. II 6 = vol. I 624. [4]) Hipp. Epid. VI 7, 6 = vol. V 340 L. [5]) ὀργίζονται P. [6]) ὑπάρχει P.

ἂν δὲ ὁποῖον ἐν τῷ φθινώδει πάθει γίνεται τὸ σῶμα, τοιοῦτον 74
ὑπάρχῃ φύσει, ῥᾳόνως ἔσται φθινώδης ὁ ἄνθρωπος οὗτος. ἐὰν δὲ οἷον τὸ ὑδερῶδες, ὑδερικός[1]. ἐὰν δὲ οἷον τὸ μελαγχολῶδες, μελαγχολικός[2]. οὕτως δὲ καὶ εἰ εὐκίνητος ᾖ καὶ σφοδρὸς ταῖς ὁρμαῖς καὶ σεσι μημένος[3] (?), ἕτοιμος εἰς φρενῖτιν καὶ μανίαν ἐστίν. ἐὰν δὲ ἀργὸς καὶ βραδὺς καὶ νωθρός, εἰς λήθαργον, καὶ ἐπὶ τῶν ἄλλων ὁ αὐτὸς λόγος.

„Ἀλλ' εἰ μὲν κνισώδεις τινὰς ἢ καπνώδεις 75
ἐργάζοιτο τὰς ἐρυγάς, ἄμετρον αὐτῇ καὶ πυρῶδες τὸ θερμόν, εἰ δ' ὀξείας, ἄρρωστον“[4].

Ἀπὸ τοῦ δ̄ λόγου τῶν ἁπλῶν[5]. Ἡ δ' ἐν τοῖς χυμοῖς ὀξύτης ἐν τῷ μεταβάλλεσθαι μὲν ὑπὸ τοῦ θερμοῦ, μὴ κρατεῖσθαι δὲ [τελέως][6], μάλιστα [ἔοικε][6] γίνεσθαι. τεκμήραιτο[7] δ' ἂν τις οὐχ ἥκιστα κἀν ταῖς ὀξυρεγμίαις, ὡς αὗταί γε ταῖς μὲν μηδόλως ἐν τῇ γαστρὶ μεταβαλλομέναις τροφαῖς[8] οὐχ ἕπονται, καθάπερ οὐδὲ ταῖς ἀκριβῶς[9] πεφθείσαις, μόναις δὲ ταῖς ἡμιπέπτοις, ὡς ἂν οὕτω τις εἴποι. καλῶ δὲ ἡμιπέπτους, ὅσαι δεξάμεναι τὴν ὑπὸ τῆς ἐν τῇ γαστρὶ θερμότητος ἀλλοίωσιν οὐκέτ' εἰς τέλος ὑπ' αὐτῆς ἐκρατήθησαν.

Εἰ γάρ τις εὐθὺς ἐξ ἀρχῆς ἐγένετο τῇ κράσει 76
ξηρότερός τε καὶ ψυχρότερος, οὐ μελαγχολικὸς ὁ τοιοῦτος, ἀλλὰ φλεγματικός ἐστι τοῖς περιττώμασιν[10].

Καὶ γὰρ οἱ γέροντες ἐκ μετασπάσεως ὄντες ψυχροὶ καὶ ξηροὶ οὐ μελαγχολικοί, ἀλλὰ φλεγματικώτεροι τὴν κρᾶσίν εἰσιν.

Ἀρχὴ τοῦ γ̄ Περὶ κράσεων.

Τί ἐστι δυνάμει[11]; δυνάμει ἐστὶν εὐφυΐα καὶ ἐπιτηδειότης 77
οὐσίας οὐκέτ' ἔργον . . . . . λειουμένης καὶ κομιζομένης τὴν ἐνέργειαν ἣν εἶχε πρῶτον δυνάμει. δύναμις δ' ἐστὶ παρασκευαστικὸν τελείας[12]) οὐσίας καὶ ἑτοιμότης ἀκώλυτος οἰστικὴ ἐνεργείας αὐτόθι προβαλλομένη τὰ ἑαυτῆς καὶ οὐχ . . . . ταῦτα δεχομένης (fol. 23 ᵇ inc.).

---

[1]) ὑδερικόν P. [2]) μελαγχολικόν P. [3]) Das Wort ist teilweise durch ein Loch absorbiert; die richtige Lesart ist ungewiss. [4]) Gal. De temper. II 6 = vol. I 629. [5]) Aus Gal. vol. XI p. 665—666. [6]) Fehlt in P. [7]) τεκμαίρετο P. [8]) τροφὴν P. [9]) ἀκριβεῖς P. [10]) Gal. De temper. II 6 = vol. I 642. [11]) cf. Gal. De temper. III 1 p. 646: τί ποτε σημαίνει τὸ δυνάμει. [12]) τελεία P.

78 „Λοιπὸν ἂν εἴη περὶ τῶν δυνάμει τοιούτων διελθεῖν.“ [1])

Τὸ δυνάμει κατὰ φιλοσόφους διττὸν ἢ κατ' ἐπιτηδειότητα ἢ καθ' ἕξιν ἢ καθ' ἑαυτὸ ἢ κατὰ συμβεβηκός. λέγεται δὲ κατὰ συμβεβηκὸς δυνάμει, οἷον τὸ ψυχρὸν θερμαῖνον, ὅπερ ἀντιδιήρηται τῷ καθ' ἑαυτό. ἀνάγεται δὲ εἰς τὸ καθ' ἕξιν. παρὰ δὲ τοῖς ἰατροῖς δυνάμει τὸ κατ' ἐπιτηδειότητα τριχῶς ἢ πρὸς ἕξιν, ὡς τὸ νεογενὲς παιδίον μέλλον ἕξιν γεωμετρικὴν προσλαβεῖν ἢ πρὸς τὸ κατ' εἶδος. κατ' εἶδος δὲ λέγεται ὥσπερ ἐπὶ τοῦ χυλοῦ καὶ τοῦ αἵματος ἢ πρὸς ἐνέργειαν ὡς ἐπὶ τοῦ νεογενοῦς κυνός. μέλλει γὰρ οὗτος ἐνέργειαν θηρατικὴν προσ-
79 λαβεῖν. καὶ ἄλλως. τὸ δυνάμει παρὰ τοῖς ἰατροῖς τετραχῶς. ἢ ἐνεργείᾳ, ὅπερ καὶ καθ' ἕξιν λέγεται, ὡς τὸ πῦρ, ὅπερ οὐ θερμαίνει τὸν ἄνθρωπον, ἀλλ' ἐν ἀγγείῳ περιεχόμενον λέγεται δυνάμει θερμόν, ἢ ὡς οἰκείᾳ ὕλῃ, ὡς τὸν κάλαμον δυνάμει πυρῶν (?), ἢ καθ' ἑαυτό, ὅπερ καὶ κατ' ἐπιτηδειότητα λέγουσιν ὡς δυνάμει θερμόν, ἢ κατὰ συμβεβηκὸς δυνάμει θερμόν, ὡς τὴν ψυχρολουσίαν. τὸ δὲ κατ' ἐπιτηδειότητα διαιροῦσιν εἰς τρία, ὡς προείρηται.

80 „Ἡ μεταβολῆς ἀρχὴν παρὰ τοῦ σώματος λαβόντα σήπεται τοὐντεῦθεν ἤδη καὶ διαφθείρεται κἄπειτα συνδιασήπει τε καὶ διαφθείρει τὸ σῶμα.“ [2])

Ὡς ὁ θαλάσσιος πνεύμων καὶ ἡ κανθαρὶς καὶ τὸ τῆς τρυγόνος ὀστοῦν καὶ αἱ κακοχυμόταται τροφαὶ σηπόμεναι καὶ συνδιασήπουσαι.

81 „Οὕτως οὖν καὶ οἶνος, ἐπειδὰν πολύς, ὡς μὴ κρατεῖσθαι, πίνηται, τοσοῦτον ἀποδεῖ τοῦ θερμαίνειν τὸ ζῷον ὥστε καὶ πάθη ψυχρότατα γεννᾶν.“ [3])

Ἐπειδὴ τὸ φλέγμα, ὡς καὶ αὐτὸς προϊὼν ἐνταῦθά φησιν, ἐκ τῶν σιτίων τῶν μὴ πεφθέντων ἐν τῇ γαστρὶ γεννᾶται, πολὺς ὁ οἶνος πινόμενος, ὡς μὴ κρατεῖσθαι, ἀπεπτούμενος γίνεται φλέγμα κἀκ τούτου τοῦ χυμοῦ ταῦτα τὰ πάθη γίνεται.

82 „Ὅσα δὲ ψύχει, καθάπερ ὀπὸς μήκωνος, οὐ μεταβάλλεται πρὸς τοῦ σώματος οὐδ' ἐπ' ὀλίγον.“ [4])

---

[1]) Gal. De temper. III 1 = vol. I 646. [2]) Gal. De temper. III 2 = vol. I 656. [3]) Gal. De temper. III 2 = vol. I 661. [4]) Gal. De temper. III 3 = vol. I 666.

*Ἐκ τῶν Περὶ τῶν ἑαυτῷ δοκούντων.* Ἕτερον[1]) δὲ γένος ἐστὶ φαρμάκων κατὰ τὴν ἰδιότητα τῆς ὅλης οὐσίας ἐνεργούντων. τοιαῦτα δὲ ἐδείκνυον ὄντα τά τε καθαίροντα καὶ τὰ δηλητήρια καλούμενα, διαφέροντα τῶν ἁπλῶς θανασίμων ὀνομαζομένων [ἐν] τῷ τὰ μὲν δηλητήρια μηδέποτ' ὠφελεῖν ἡμᾶς, τὰ δὲ θάνασιμα φέρειν ὠφέλειαν ἔσθ' ὅτε βραχεῖαν λαμβανόμενα μετὰ μίξεως ἐνίοτε χρησίμων τινῶν. οὕτω γοῦν καὶ τῷ τῆς μήκωνος πολλάκις ὀπῷ[2]) χρώμεθα.

Οἷον τὸ κώνειον τῷ ψαρὶ μὲν τροφή, φάρμα- 83
κον δ' ἀνθρώποις, καὶ τοῖς ὄρτυξιν ἐλλέβορος τροφή.[3])

Λεπτοὺς γὰρ ἔχοντες οἱ ψᾶρες τοὺς ἐπὶ τῇ καρδίᾳ πόρους φθάνουσιν ἐκπέψαι τὸ καταποθὲν πρὶν τὴν ἀπ' αὐτοῦ βλάβην τῶν καιρίων καθάψασθαι. τοῖς δὲ ὄρτυξιν ἐλλέβορος γίνεται τροφή, ἰδιότητι κράσεως τὴν βλάβην ἀποφευγόντων.

*Ἀρχὴ τοῦ Περὶ φυσικῶν δυνάμεων.* 84

„Τῇ λέξει δ' οὐ πάνυ τῇ συνήθει κέχρηται".[4])

Τί δὴ οὖν χρὴ ποιεῖν τὸν ἀληθείας ἐραστήν; ἐπιδεικνύναι τὰ παραπλήσια ταῖς ἀλλήλων φύσεσι πράγματα καὶ διὰ τοῦτο παρορώμενα κἄπειτα τίθεσθαι κατ' αὐτῶν ὀνόματα μάλιστα μέν, εἰ οἷόν τ' ἦν, τὰ συνήθη τοῖς Ἕλλησιν, εἰ δ' ἀγνοεῖ ταῦτα, ποιεῖν ἴδια.

„Ἀλλὰ πρότερον διελέσθαι τε χρὴ καὶ μηνῦσαι 85
σαφῶς ἕκαστον τῶν ὀνομάτων".[5])

Χρὴ δὲ ἴσως καὶ περὶ τῶν ὀνομάτων οἷς χρησόμεθα κατὰ τὸν λόγον πρότερον διελθεῖν, ὅπως μὴ μεταξὺ τῆς διηγήσεως χρωμένων αὐτοῖς ἢ ἀσαφὲς γένηται τὸ λεγόμενον ἢ τὸ συνεχὲς τῆς διδασκαλίας διακόπτηται.

„Ἵνα μὲν γὰρ τὸ ξανθὸν ἐρυθρὸν γένηται καὶ 86
τὸ ἐρυθρὸν ξανθόν, ἁπλῆς καὶ μιᾶς δεῖται τῆς ἀλλοιώσεως· ἵνα δὲ τὸ λευκὸν μέλαν, ἁπασῶν τῶν μεταξύ." [6])

Πρῶτον μὲν γὰρ οἰνῶδες γίνεται τὸ λευκόν, ἔπειτα δὲ

---

[1]) Philol. 52 S. 433. [2]) ὀπῷ durch ein Loch absorbiert. [3]) Gal. De temper. III 4 = vol. I 684. [4]) Gal. De nat. facult. I 1 = vol. II 1 (= Script. min. III 101. [5]) Gal. De nat. facult. I 2 = vol. II 2 (= Script. min. III 101). [6]) Gal. De natur. facult. I 10 = vol. II 21 (= Script. min. III 115).

ὑπόπυρρον, εἶτα πυρρὸν καὶ μετὰ τοῦτο ὕπωχρον, εἶτ᾽ αὖθις ὠχρόν, ἑξῆς δὲ ὑπόξανθον καὶ αὖθις ξανθόν, εἶθ᾽ οὕτως ὑπέρυθρον καὶ αὖθις ἐρυθρὸν καὶ μετὰ τοῦτο χλωρὸν καὶ τελευταῖον μέλαν.

87 „Ἀρχὴ δὲ αὐτῶν τῆς διδασκαλίας, ὅσα τοῦ τέλους ἐγγὺς ἔργα τε τῆς φύσεώς ἐστι καὶ μόρια καὶ δυνάμεις αὐτῶν.“ [1])

Ἔργα μὲν τῆς φύσεως ἐγγὺς τῆς θρέψεώς εἰσιν ἐξομοίωσις πρόσφυσις πρόσθεσις. μόρια δὲ αἱ φλέβες αἱ καθ᾽ ὅλον τὸ σῶμα, αἳ καὶ τὸ αἷμα φέρουσιν. ἧπαρ δὲ καὶ φλέβες αἱματοποιήσεως ὄργανα, γαστὴρ χυλοποιήσεως [2]), σπλὴν χοληδόχος κύστις νεφροὶ καὶ οἱ τούτων πόροι μόρια δύναμιν ἔχοντα καθαρτικὴν τῶν περιττωμάτων. τὰ μὲν γὰρ ἀλλοιοῦντα παρασκευάζει τὴν ἐπιτήδειον ἑκάστῳ μορίῳ τροφήν, τὰ δὲ διακρίνει τὰ περιττώματα, τὰ δὲ παραπέμπει, τὰ δὲ ὑπέρχεται, τὰ δὲ ἐκκρίνει, τὰ δὲ ὁδοὶ
88 τῆς πάντη φορᾶς τῶν χυμῶν εἰσιν. ἀλλοιοῦσι μὲν ἥ τε γαστὴρ καὶ τὸ ἧπαρ, διακρίνουσι δὲ ἥ τε χοληδόχος κύστις καὶ οἱ νεφροὶ καὶ ὁ σπλήν. παραπέμπουσι δὲ οἱ οὐρητῆρες, ὑποδέχεται δὲ ἡ κύστις καὶ τὰ λεπτὰ ἔντερα, ὑποδέχονται δὲ τὰ παχέα, ἐκκρίνουσι δ᾽ ἡ κύστις καὶ ἡ μήτρα καὶ ἡ ἕδρα, ὁδοὶ δὲ τῆς πάντη φορᾶς αἱ φλέβες εἰσίν.

89 „Ὥσπερ τὸ γένος ἐκεῖνο τῶν ὑδέρων, ὅ τινες ὀνομάζουσιν ἀνὰ σάρκα.“ [3])

Πάντες ὕδεροι δι᾽ ἀτονίαν ἥπατος γίνονται [4]). ἀσθενεῖ γὰρ τὸ ἧπαρ, ἄγεται ὁ χυλὸς ἐκεῖσε, οὐ δύναται μεταβάλλειν αὐτὸν εἰς αἷμα, μένει ἀπρονόητος καὶ ἐξυδαροῦται. ἔρχεται μεταξὺ ἐντέρων καὶ περιτοναίου, θέλει διαφορηθῆναι, πυκνῷ
90 ὄντι τῷ περιτοναίῳ κωλύεται. ἀντικρατεῖ καὶ εἰ μὲν τὸ ὑγρὸν ἐπικρατεῖ τῶν πνευμάτων, γίνεται ὁ ἀσκίτης ὕδερος, εἰ δὲ τὰ πνεύματα τῶν ὑγρῶν, ὁ λεγόμενος τυμπανίας. ἐν δὲ τῷ παντὶ σώματι γίνεται οὕτως. ἀλλοιοῦται οὐ καλῶς ἐν τῷ ἥπατι ὁ χυλός, διαδίδοται εἰς ὅλον τὸ σῶμα ἡ ἀλλοιωτικὴ δύναμις τοῦ ὅλου σώματος, οὐ δύναται μεταβάλλειν τὴν τροφὴν καὶ πρόσ-

---

[1]) Gal. De nat. facult. I 10 = vol. II 23 (= Script. min. III 117). [2]) *χυλοποίησις* fehlt in den Wörterbüchern, während *χυλοποιέω* aus Alex. Trall u. a. belegt wird. [3]) Gal. De nat. facult. I 11 = vol. II 24 (= Script. min. III 118). [4]) *γίνεται P.*

θεσις μὲν γίνεται, πρόσφυσις δὲ καὶ ἐξομοίωσις οὐ γίνεται. καὶ οὗτος ὁ λευκοφλεγματίας καλούμενος ὕδερος.

„Καταφρονοῦσι δὲ καὶ τῶν ὀνειράτων καὶ τῶν 91
συμβόλων.“ [1])

Σύμβολόν ἐστιν, ὅπερ προφανῶς δι' ἑτέρου τινὸς δηλοῖ τὴν ἐκείνου παρουσίαν, ὡς σεισμοὶ καὶ βρονταὶ καὶ ἀστραπαί.

„Τῶν γὰρ ἄλλων οὐδὲν οὐδὲ αὐτὸς ὁ Ἐρασίστρατος ἐκ καρδίας βούλεται τρέφεσθαι διὰ τὴν τῶν ὑμένων ἐπίφυσιν.“ [2])

Ἀπὸ τῆς Περὶ χρείας μορίων. Ὅτι [3]) μὲν οὖν ἡ καρδία 92
κατὰ τὸν τοῦ διαστέλλεσθαι καιρὸν ἕλκουσα τὰς ῥίζας τῶν ὑμένων ἀνοίγνυσι μὲν τὰ τῶν ἑλκόντων τὰς ὕλας ἀγγείων στόματα, κλείει δὲ τὰ τῶν ἐξαγόντων [εἴρηταί τε καὶ δέδεικται πρόσθεν [4])]. εἴρηται δὲ καὶ ὡς [ἐν] τοῖς ἕλκουσιν ἅπασιν ῥᾶον ὑπακούει τὰ κουφότατα καὶ ὡς ἐπὶ μὲν τοῖς ἄλλοις στόμασιν ὑμένες ἐπίκεινται τρεῖς, ἐπὶ δὲ τῷ [5]) τῆς φλεβώδους ἀρτηρίας οὐκέτι, διότι μόνην αὐτὴν ἐπιτρέπειν δεῖ διεξέρχεσθαι τοῖς ἐκ τῆς καρδίας εἰς τὸν πνεύμονα φερομένοις αἰθαλώδεσι περιττώμασιν. ἐκ τούτων ἂν τις ἴσως ὑπονοήσειε μηδὲν ὅλως εἰς 93
τοὐπίσω φέρεσθαι κατὰ τὰ λοιπὰ στόματα τρία τῶν ἀγγείων. ἀλλ' οὐχ ὧδ' ἔχει τἀληθές. ἐν ᾧ γὰρ χρόνῳ συμβαίνει κλείεσθαι τοὺς ὑμένας, ἀναγκαῖον ἐν τούτῳ φθάνειν ἑλκόμενον εἰς τὴν καρδίαν αἷμα καὶ πνεῦμα καὶ μέν γε κἀν τῷ συστέλλεσθαι πρὸ τοῦ κλεισθῆναι πάλιν ἀντιπέμπεσθαι κατὰ τὸν τοῦ κλείεσθαι χρόνον. ἀλλὰ καὶ κεκλεισμένων ἤδη τῶν ὑμένων ἐνδέχεταί ποτε τῆς καρδίας σφοδρότερον κινουμένης παραρρυῆναί τι μὴ μόνον ἀτμοῦ καὶ πνεύματος ἀλλὰ καὶ αὐτοῦ τοῦ αἵματος. ἀπὸ τοῦ β̄ λόγου.

„Μετὰ δὲ τὴν τοιαύτην ἐνέργειαν, ὡς οὐδὲν 94
ἔλειπεν, ἔτι προαγαγοῦσαν [6]) εἰς φῶς αὐτὸ σύν τισι δυνάμεσιν. [7])

Δυνάμεις λέγει τὰς τρεῖς [8]) δυνάμεις, δι' ὧν διοικεῖται τὸ ζῷον, μία μὲν ἡ ἐξ ἐγκεφάλου διὰ νεύρων καὶ μυῶν, δευτέρα

---

[1]) Gal. De nat. facult. I 12 = vol. II 29 (= Script. min. III 121). [2]) Gal. De nat. facult. II 1 = vol. II 77 (= Script. min. III 156). [3]) Gal. De usu part. VI 16 = vol. III 490. [4]) Die Worte εἴρηταί τε καὶ δ. π. fehlen in P. [5]) τὸ P. [6]) προσαγαγοῦσαν P. [7]) Gal. De natur. facult. II 3 = vol. II 81 (= Script. min. III 160). [8]) τρεῖς ist unsicher.

δὲ τῆς καρδίας δι' ἀρτηριῶν, τρίτη δὲ ἡ τοῦ ἥπατος διὰ τῶν φλεβῶν τῶν ἐν τοῖς σιμοῖς.

95 „Εἰς ἣν παράγουσι μὲν αἱ ἀπὸ τῶν πυλῶν τὸ ἀκάθαρτον αἷμα.“[1])

Πύλας ἥπατος ὀνομάζει τοῦ ἥπατος ἐμφυομένας φλέβας. ὠνομάσθησαν δὲ πύλαι παρὰ τοῦ θεμένου πρώτως πύλας ὄνομα τῷ χωρίῳ τούτῳ, πόλει μὲν ἢ οἰκίᾳ τινὶ μεγάλῃ τὸ ἧπαρ παρεικάσαντος, ἀγροῖς δὲ τά τ' ἔντερα καὶ τὴν κοιλίαν, ἐξ ὧν ὥσπερ δι' ὁδῶν τινων πολλῶν τῶν φλεβῶν εἰς τὰς πύλας τῆς πόλεως ἢ τῆς οἰκίας κομίζεται τὰ σιτία.

96 „Ἀλλ' οὗτοί γε πρῶτον μὲν ἀγνοοῦσιν, ὡς ἄλλα μέν ἐστι φλεγμονῆς, ἄλλα δὲ τῶν οὕτω καταπεπαρμένων ἑλκτικὰ φάρμακα.“[2])

Ἡ τῶν ἑλκτικῶν δύναμις ἡ μέν τις αὐτοφυής ἐστιν, ἡ δ' ἐκ σηπεδόνος ὀξυνούσης ἔχει τὴν γένεσιν, αὐτοφυὴς μὲν ἥ τε τοῦ δικτάμνου καὶ προπόλεως καὶ θαψίας καὶ ἡ τοῦ σαγαπηνοῦ[3]) καὶ ἡ τῶν ὀπῶν τοῦ Κυρηναίου τε καὶ τοῦ Μηδικοῦ, ἐκ σηπεδόνος δὲ ἥ τε τῆς ζύμης καὶ ἡ τοῦ ψωρικοῦ καλουμένου, ἤδη δὲ καὶ κόπρος ἡ ἐκ σηπεδόνος. ἐστὶ δὲ καὶ ἕτερον γένος ἑλκόντων οἰκειότητι ποιότητος ἤτοι ὁμοιότητι τῆς ὅλης οὐσίας. ἡ τρίφυλλος[4]) ἡ ἀσφαλτῖτις τὸν τῆς ἐχίδνης ἰὸν ἕλκει, θεῖον δὲ τὸν τοῦ σκορπίου.

97 „Πάλιν οὖν, τὸ τρίτον τῷ σωτῆρι, τὴν χειρίστην ἁπασῶν δόξαν.“[5])

Ἰστέον, ὡς ἔθους ὄντος παρὰ τοῖς παλαιοῖς πρότερον μὲν θύειν Διονύσῳ καὶ Χάρισιν, εἶτα Ποσειδῶνι καὶ τρίτον Διὶ σωτῆρι ὁ Γαληνὸς δύο ἀνατρέψας πρότερον Ἀσκληπιάδην καὶ Ἐρασίστρατον, τρίτον δὲ νῦν Μακεδόνα τὸν Λύκον ἀδολεσχήσαντα, ἀνάπαλιν εἰρωνικῶς ἐμνημόνευσε ὡς τρίτου τοῦ σωτῆρος. φησὶ δὲ Ὀρφεύς[6])

Ζεύς τ' ἀρχή, Ζεὺς μέσσα, Διὸς δ' ἐκ πάντα τελεῖται.

ἀλλὰ καὶ ἐν τοῖς συμποσίοις ἔθος ἦν τοιοῦτον τρεῖς κρατῆρας

---

[1]) Gal. De nat. facult. II 4 = vol. II, 93 (= Script. min. III 168). [2]) Gal. De nat. facult. I 19 = vol. II 54 (= Script. min. III 140). [3]) *σαγαπινοῦ P.* [4]) *τρίφυλος P.* [5]) Gal. De nat. facult. I c. 17 = vol. II 70 (= Script. min. III 152). [6]) cf. Aristot. De mundo c. 7: *Ζεὺς πρῶτος γένετο, Ζεὺς ὕστατος ἀργικέραυνος, Ζεὺς κεφαλή, Ζεὺς μέσσα, Διὸς δ' ἐκ πάντα τέτυκται;* cf. Überweg I 30. Diels, Vorsokratiker 492.

ἱστᾶν, τὸν ἕνα ξενίῳ Διί, τὸν ἕτερον θεοῖς καὶ ἥρωσι, τὸν δὲ τρίτον σωτῆρι Διί.

Ἀρχὴ τοῦ β̄ λόγου.

fol. 24. inc.

„Πρόχειρον γὰρ ἦν εἰπεῖν ἕλκοντα παρὰ τῶν 98
φλεβῶν, ὥσπερ αἱ φλέβες αἱ σύνθετοι.“ [1]

Καὶ τὰς ἀρτηρίας οἱ παλαιοὶ φλέβας ἔλεγον. εἰσὶ δὲ αὗται σύνθετοι. ἐξ ἰνῶν γὰρ καὶ ὑμένων αἱ ἀρτηρίαι καὶ αἱ φλέβες σύγκεινται.

Κοιλότης μὲν γάρ τις ἐν αὐτῷ κατ' αὐτόν, ἀλλ' 99
οὐχ αἵματος αὕτη γε ἀλλὰ πνεύματος ψυχικοῦ μεστή. [2]

Ἀπὸ τοῦ ε̄ λόγου τῶν ἁπλῶν.

Καὶ [3] δῆτα καὶ περιέχεσθαι μὲν ἐν ἅπασι τοῖς τοῦ ζῴου μέλεσι τουτὶ τὸ πνεῦμα φαμέν, οὐχ ὅμοιον δ' εἶναι πανταχόθεν, καθάπερ οὐδὲ τὸ αἷμα. περιέχεσθαι δὲ κἂν ταῖς κεναῖς χώραις οὐκ ὀλίγην οὐσίαν αὐτοῦ. Οἱ μὲν οὖν Στωικοὶ ταὐτὸ τοῦτο τὸ πνεῦμα τὴν οὐσίαν τῆς ψυχῆς εἶναι δοξάζουσιν. ἔτι τοῦ [4] τρ . . . . . θεραπευτικὴν . . . . . . . ζωτικὸν ψυχικὸν καὶ φυσικόν.

fol. 24 b inc.

„Τῇ κηπαίᾳ κατὰ τὴν παροιμίαν πρὸς Ἀσκλη- 100
πιάδην ἀπεχώρησαν.“ [5]

Ἡ παροιμία εἴρηται ἐπὶ τῶν τῆς κοινῆς ὁδοῦ καὶ τετριμμένης ἀποχωρεῖν βουλομένων καὶ διὰ τοῦτο ἀνα . . . . . καὶ ἄλλοις ὁδὸν κεκρυμμένην ὁδοιπορούντων, εἶθ' ὕστερον εἰς τὴν κοινὴν καὶ προτέραν ὁδὸν ἐμβαλλόντων. φασὶ δέ τινες Δημοσθένην τὸν ῥήτορα ὑπὸ Πλάτωνος τῆς διατριβῆς ἐκβληθέντα ὡς ἧττον μὲν ταῖς ἐννοίαις τῶν λεγομένων προσέχοντα, τὸν δὲ τοῦ λέ . . . . . στοημένον εἴσοδόν τε κήπου ἐφευρηκότα καὶ λανθάνοντα ἐπὶ πολὺν χρόνον ἀκροᾶσθαι οὕτω τοῦ Πλάτωνος.

---

[1]) Gal. De nat. facult. II 6 = vol. II 96 (= Script. min. III 170) und Gal. II 97 (= Script. min. III 171). [2]) Gal. De nat. facult. II 6 = vol. II 97 (= Script. min. III 171). [3]) Gal. XI 731. [4]) Die auf ἔτι τοῦ folgenden Worte sind nur teilweise leserlich. [5]) Gal. De nat. facult. II 6 = vol. II 98 (= Script. min. III 172).

101 „Οὕτως ἂν καὶ τὴν ἀντιλογίαν εἴημεν πεφευγότες τὴν Ἀσκληπιάδειον μὴ δυνάμενοί γε λύειν αὐτήν.“ [1]

Ἀντιλογίαν λέγει τὴν οὕτως λέγουσαν ἢ συμπεσεῖται τὰ ἀγγεῖα.

102 „Τὸ γὰρ εἰς ἀπόδειξιν λαμβανόμενον λῆμμα[2]) τὸ διεζευγμένον οὐκ ἐκ δυοῖν ἀλλ᾿ ἐκ τριῶν ἐστι κατά γε τὴν ἀλήθειαν διεζευγμένον.“ [3]

Συνημμένον μὲν λέγεται ὁ ἀπὸ ἡγουμένου καὶ ἑπομένου γινόμενος συλλογισμός, οἷον εἰ ἄνθρωπός ἐστι, καὶ ζῷόν ἐστι. ἀλλὰ μὴν οὐ ζῷον· οὐκ ἄνθρωπος ἄρα. διεζευγμένον δ᾿ ἐστὶ τὸ ἐξ ἀντικειμένων λαμβανόμενον, οἷον ὁ ἀριθμὸς ἢ περιττός ἐστιν ἢ ἄρτιος. ἀλλὰ μὴν οὐ περιττός. ἄρτιος ἄρα. ἐπὶ γὰρ τῶν τοιούτων τῇ ἀναιρέσει τοῦ ἑνὸς τὸ ἕτερον ἕπεται.

103 „Ἐν μὲν τοῖς περὶ πέψεως λόγοις τοῖς σήπεσθαι τὰ σιτία νομίζουσι φιλοτίμως ἀντιλέγων. ἐν δὲ τοῖς περὶ τῆς ἀναδόσεως τοῖς διὰ τὴν παράθεσιν τῶν ἀρτηριῶν ἀναδίδοσθαι τὸ διὰ τῶν φλεβῶν αἷμα [νομίζουσιν[4]], ἐν δὲ τοῖς περὶ τῆς ἀναπνοῆς τοῖς περιωθεῖσθαι τὸν ἀέρα φάσκουσιν.[5])

Γέγονέ τις δόξα οἰομένη κατὰ σῆψιν ἀλλοιοῦσθαι ἐν γαστρὶ τὰ σιτία, ἐκ τῶν διαχωρημάτων ὡς ἔοικε τὴν ἀφορμὴν ἔχουσα. αὕτη δὲ τοῖς περὶ τὸν Ἀθήναιόν ἐστιν, ἣν ἐλέγχει ὁ Ἐρασίστρατος[6]) τρίψει τὴν πέψιν οἰόμενος ἐν τῇ γαστρὶ γίνεσθαι ὥσπερ ἐν θυίᾳ, τῇ γαστρὶ δίκην δοίδυκος ὑπὸ τοῦ ἐμπίπτοντος πνεύματος τριβομένης τῆς τροφῆς. ἐστὶ δὲ τελέως εὐήθης ἡ δόξα. τὰ γὰρ τριβόμενα καταθραύεται μέν, οὐ μὴν κατὰ χρόαν καὶ τὰς ἄλλας ποιότητας ἐναλλάττεται ὡς πάντα τὰ πεττόμενα. ἔπειτα ἐχρῆν τὰ μικρὰ τοῖς ὄγκοις θᾶττον θραύεσθαι. νῦν δὲ ὁρῶμεν, ὡς σητάνια[7]) μὲν ἄθραυστα τηρεῖ, βόεια δὲ
104 κρέα κατεργάζεται ἡ γαστήρ. ἔλεγε δὲ τὸ πνεῦμα τὸ ποιοῦν τὴν τρῖψιν μοῖραν εἶναι πολλὴν τοῦ ἐν τῇ ἀορτῇ πνεύματος,

---

[1]) Gal. De nat. facult. II 7 = vol. II 106 (= Script. min. III 178). [2]) Gal. De nat. facult. II 7 = vol. II 106 (= Script. min. III). [3]) λεῖμμα P. [4]) νομίζουσιν fehlt in P. [5]) Gal. De nat. facult. II 8 = vol. II 111 (= Script. min. III 182). [6]) cf. Gal. XIX 372. Ἐρασίστρατος δὲ τρίψει καὶ λειώσει καὶ περιστολῇ τῆς γαστρὸς καὶ ἐπικτήτου πνεύματος ἰδιότητι (τὰς πέψεις τῆς τροφῆς φησὶ γίγνεσθαι). [7]) σησόμενα P.

ὃ καὶ ἐκάλει ὀλμοκόπον[1]), τὴν δὲ γαστέρα ὅλμον, τὰ δὲ σιτία
ὀλμοκοπούμενα[2]). ὅτι δὲ οὐδὲ σήψει γίνεται ἡ πέψις κατὰ
ἀλήθειαν, οὕτως ἐλέγχεται, ὡς πᾶσα τροφή, καθὰ καὶ τοῖς φιλο-
σόφοις δοκεῖ, ἔχει τὸ πικρὸν καὶ ἡδὺ καὶ πρὸ τοῦ μεταβληθῆναι
οὐδὲν ἐν αὐτῷ φαίνεται. μετὰ δὲ τὴν μεταβολὴν τὸ μὲν χρη-
στὸν διαδίδοται ὅλῳ τῷ σώματι, τὸ δ' αὖ ἄχρηστον ὠθεῖται εἰς
τὰ ἔντερα καὶ ἀτημέλητον τῇ φύσει ἐστὶ καὶ διὰ τοῦτο ὀξώδη
τὰ περιττώματα, οὐ τῇ σήψει τῆς τροφῆς. ἄλλη δέ τις δόξα 105
ἔλεγε τὴν ἀνάδοσιν τοῦ αἵματος γίνεσθαι τῇ ὠθήσει[3]) τοῦ ἐν
ταῖς ἀρτηρίαις περιεχομένου πνεύματος, συνανεστομωμένων
δηλονότι τῶν ἀρτηριῶν ταῖς φλεψί, ὃ πρῶτον [ἐλέγ] χεται
εἶναι ψεῦδος ἐκ τοῦ μὴ πάσας τὰς ἀρτηρίας συνανεστομῶσθαι
ταῖς φλεψίν, εἶτα καὶ ἐκ τοῦ μὴ δύνασθαι τὸ πνεῦμα εἰς ὅλον
τὸ σῶμα ὠθεῖν τοσοῦτον ὑγρόν. ἑτέρα δὲ δόξα ἐστίν, ἐν ᾗ 106
αἰνίττεται τὸν Πλάτωνα[4]), λέγοντα διαφορούμενον τὸ πνεῦμα
ἐκ τῶν ἀρτηριῶν ὠθεῖν τὸν ἀέρα ἐντὸς ἡμῶν καὶ οὕτω γίνε-
σθαι εἰσπνοήν, ὅπερ ἀδύνατον. ὁ γὰρ ἀὴρ ἤτοι τὸ πνεῦμα ὡς
κοῦφον ἄνω φέρεται καὶ οὐκ ἀντανακλᾶται ὥστε ὠθεῖν. ὅμως
ἐπειδὴ ὠθήσει καὶ ἀντωθήσει[5]) καὶ ἀντανακλάσει τοῦ ἀέρος
ἔλεγεν ὁ Πλάτων τὴν κίνησιν γίνεσθαι, κίνησις δὲ καὶ εἰσπνοὴ
δοκοῦσιν αὐτοῦ καθάπτεσθαι[6]).

„Οὐκ ὤκνησε δὲ οὐδὲ τοῖς ἀτμοειδῶς εἰς τὴν κύστιν ἰέναι τὰ οὖρα νομίζουσιν ἀντειπεῖν οὐδὲ τοῖς εἰς τὸν πνεύμονα φέρεσθαι τὸ ποτόν.“[7])

Δόξα ἡ ἀτμοειδῶς εἰς τὴν κύστιν συρρεῖν τὸ οὖρον 107
λέγουσα Ἀσκληπιάδου[8]). δήλη δὲ ἐκ τῶν ὄπισθεν αὐτοῦ ἀναί-
ρεσις. ἄλλη δέ τις δόξα τῶν λεγόντων διὰ τῆς τραχείας ἀρτη-
ρίας τὸ ποτὸν κατιέναι, οὓς ἐλέγχων Ἀριστοτέλης λέγει. εἰ διὰ
τῆς προρηθείσης κάτεισι τὸ ποτὸν ἀρτηρίας εἰς τὸν πνεύμονα,
πρὸ εὑρισκομένων ὑγρῶν ἐν τῇ γαστρὶ οὐδεὶς πόρος[9]) ἀπὸ

---

[1]) *ὀλμοκόπος* fehlt in den Wörterbüchern. [2]) *ὀλμοκοπέω* gebraucht Alex. Trall. 11 p. 632. [3]) *ὤθησις* wird in den Wörterbüchern nur aus Alex. Aphrod. u. Hesych. belegt. [4]) Tim. p. 78 sq. [5]) *ἀντώθησις* wird in den Wörterbüchern nicht aufgeführt. [6]) Kaum richtig; Sinn und Konstruktion unklar. [7]) Gal. De nat. facult. II 8 = vol. II 111 (= Script. min. III 182). [8]) cf. Gal. vol. II 32: *βούλεται γὰρ εἰς ἀτμοὺς ἀναλυόμενον τὸ πινόμενον ὑγρὸν εἰς τὴν κύστιν διαδίδοσθαι.* [9]) cf. Aristot. De part. animal. III 3664 b 11. *πολλαχῇ δὲ γελοῖον φαίνεται τὸ λέγειν ὡς ταύτῃ*

*τοῦ πνεύμονος φαίνεται ἀπάγων τὰ ποτὰ εἰς αὐτὴν ἢ εἰς τὴν οὐρηδόχον κύστιν.*

108 „*Εἰ γὰρ καὶ ὅτι μάλιστα δέκα ποιεῖ χωρὶς τοῦ αἵματος*[1]), [*ἑνδέκατος γὰρ ἂν εἴη χυμὸς αὐτὸ τὸ αἷμα, τῆς Ἱπποκράτους οὐκ ἀποχωρεῖ διδασκαλίας*].“[2])

. . . *χυμοὺς ὁ Πραξαγόρας διαι εἰς εδα καὶ διὰ* . . . . .

---

(sc. *τῇ ἀρτηρίᾳ*) *τὸ ποτὸν εἰσδέχεται τὰ ζῷα· πόρος γὰρ οὐδείς ἐστιν εἰς τὴν κοιλίαν ἀπὸ τοῦ πλεύμονος.*

[1]) Auf *αἵματος* folgen noch zwei unleserliche Zeilen, deren Buchstaben fast ganz verwischt sind. [2]) Gal. De nat. facult. II 9 = vol. II 141 (= Script. min. III 203).

101 „ εἴημεν πεφευ-
γότες μενοί γε λύειν
αὐτήν
ἢ συμπεσεῖται τὰ
ἀγγεῖα.
102 „ μενον λῆμμα[2])
τὸ δι ἐκ τριῶν ἐστι
κατά ."[3])
νου καὶ ἑπομένου
γινόμεν τι, καὶ ζῷόν ἐστι.
ἀλλὰ μ εζευγμένον δ' ἐστὶ
τὸ ἐξ ριθμὸς ἢ περιττός
ἐστιν τιος ἄρα. ἐπὶ γὰρ
τῶν τ ον ἕπεται.
103 , οις τοῖς σήπε-
σθαι ἀντιλέγων. ἐν
δὲ το διὰ τὴν παρά-
θεσιν ὸ διὰ τῶν φλε-
βῶν περὶ τῆς ἀνα-
πνοῆ φάσκουσιν.[5])
οιοῦσθαι ἐν γαστρὶ
τὰ σιτ ν ἀφορμὴν ἔχουσα.
αὕτη ν ἐλέγχει ὁ Ἐρασι-
στρατο ῇ γαστρὶ γίνεσθαι
ὥσπερ πὸ τοῦ ἐμπίπτον-
τος π δὲ τελέως εὐήθης
ἡ δόξ μέν, οὐ μὴν κατὰ
χρόαν ὡς πάντα τὰ πεττό-
μενα. θᾶττον θραύεσθαι.
νῦν δ τα τηρεῖ, βόεια δὲ
104 κρέα πνεῦμα τὸ ποιοῦν
τὴν τ ἀορτῇ πνεύματος,

= Script. min. III 178).
[2]) Gal. min. III). [3]) λεῖμμα P.
[4]) νομ 8 = vol. II 111 (=
Script. ίστρατος δὲ τρίψει καὶ
λειώσει νεύματος ἰδιότητι (τὰς
πέψεις